τέρα εἰκασία ὡς ἀφισταμένη τῶν
χειρογράφων εἶναι ἄγαν τολμηρά.

[3]) *Τῷ μὲν* Nauck *ἡ φράσις φαί-*
νεται ἀκατάληπτος, ὁ δὲ Reiske *εἴκασε λαῖφος κατ' ἄκρας σπι-*
λάδος καὶ ὁ Fröhlich *καὶ ψήχεται κατ' ἔδαφος. Ἡμεῖς*
ἐξηγοῦμεν διαρρέει ἀπὸ τοῦ ἄκρου
τοῦ κοίλου λίθου Φαίνεται, ὅτι ἡ
ἠρωΐς τὸ ἔριον, δι' οὗ ἔχρισε τὸν
πέπλον, ἔθηκεν ἐπί τινος κοίλου λί-
θου. Οὕτω δ' ἐξηγεῖ καὶ ὁ Σχολια-
στής· «Σπιλάς, ἡ πέτρα. Ὡς οὖν
ἐπὶ λίθου θεμένη αὐτό, τοῦτό φησι.
Κατατήκεται οὖν καὶ ῥεῖ καὶ διαλύε-
ται, ἀπὸ τοῦ λίθου διαρρέον».

[6]) *Οὐχὶ ἀφυῶς ὁ* Blaydes *εἴκασε*
μάσσον'.

[7]) *Τὸ χωρίον Κένταυρος —*
γλωχῖνι ὁ Nauck *τίθησιν ἐν ἀγ-*
κύλαις. Κατὰ τὸν Σχολιαστήν· «ὧν
εἶπέ μοι ὁ Νέσσος, ὅτε τὴν πλευρὰν
*ἤλγει, τῷ βέλει τρωθείς»,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πλευρὰν πικρᾷ[1] γλωχῖνι, προυδιδάξατο
παρῆκα θεσμῶν[2] οὐδέν, ἀλλ' ἐσῳζόμην[3]
χαλκῆς ὅπως δύσνιπτον[4] ἐκ δέλτου γραφήν.
Καί[5] μοι τάδ' ἦν πρόρρητα — καὶ τοιαῦτ' ἔδρων —
τὸ φάρμακον τοῦτ' ἄπυρον ἀκτῖνός τ' ἀεὶ
θερμῆς ἄθικτον[6] ἐν μυχοῖς σῴζειν ἐμέ,
ἕως νιν[7] ἀρτίχριστον ἁρμόσαιμί που.
Κἄδρων τοιαῦτα[8]. Νῦν δ', ὅτ' ἦν ἐργαστέον,

[1]) *Κατὰ τὴν χρῆσιν τοῦ 'Ομήρου, ὅστις λέγει πικρὸν ὀ ϊ σ τ ὸ ν. Γλωχὶν εἶναι ἡ ἀκίς, ἀπὸ δὲ τοῦ μέρους εἶπε τὸ ὅλον βέλος. Τὸ μέσον π ρ ο ὐ δ ι δ ά ξ α τ ο δὲν διαφέρει τοῦ ἐνεργητικοῦ.*

[2]) *'Επειδὴ ἡ λέξις θεσμὸς εἶναι γένους ἀρσενικοῦ, ὁ* Herwerden *νομίζει, ὅτι πρέπει νὰ γραφῇ οὐδέν'. Τοῦτο δὲν εἶναι ἀναγκαῖον· διότι ἡ λέξις εὑρίσκεται καὶ κατ' οὐδέτερον γένος παρὰ Σοφοκλ. ἐν ἀποσπάσμ.* 90. *Πρὸς δὲ δύναται νὰ ὑπάρχῃ καὶ διαφορὰ τοῦ γένους πρὸς τὴν γενικὴν διαιρετικήν, ὡς ἐν 'Αντιγόν.* 500 *« ὡς ἐμοὶ τῶν σῶν λόγων ἀρεστὸν οὐδέν ».*

[3]) *'Ο Σχολιαστὴς ἐξηγεῖ· "Διεφύλαξα οὖν ὅσα μοι παρήγγειλεν, ὡσανεὶ δέλτῳ χαλκῇ ἔχουσα ἐγκεχαραγμένα„.*

[4]) *Σημαίνει δ υ σ α π ά λ ε ι π τ ο ν. 'Η μεταφορὰ ἦτο συνήθης, ὡς ἐν ἀποσπάσμ.* 540 *« θὲς δ' ἐν φρενὸς δέλτοισι τοὺς ἐμοὺς λόγους » Λέγει δὲ χαλκῆν δέλτον, διότι κατὰ τὸν Πολυδεύκη* 8, 128 *« δέλτοις χαλκαῖς ἦσαν πάλαι ἐντετυπωμένοι οἱ νόμοι οἱ περὶ τῶν ἱερῶν καὶ τῶν πατρίων ». Τὰς συμβουλὰς τοῦ Νέσσου παραβάλλει πρ μους.*

[5]) *Τὸν στίχον τοῦτον ἐξήλ* Wunder, *ᾧ ἠκολούθησαν ἐκδόται. "Ημεῖς ἐπόμεθα τῷ Sc zer, ὅστις τίθησι τελείαν στιγμ τὴν λέξιν γραφὴν καὶ τὴν φρά τοιαῦτ' ἔδρων θεωρεῖ παρ κήν.*

[6]) *Πολλὰ ἐπίθετα σύνθετα τοῦ α τοῦ στερητικοῦ συντ πρὸς γενικήν, ὡς ἐν στίχ.* 39 *βὴς τῆς θεᾶς „ ἐν Οἰδίποδ. λων.* 1521 *« ἄθικτος ἡγητῆρος* Εὐριπίδ, *ἐν 'Ιππολύτ.* 962 *« ἀκήρατος ». 'Ο Σχολιαστὴς "ἀπροσπέλαστον πυρὸς καὶ ἀκτῖνος „. Τὸ ἀπαρέμφατον ἐξαρτᾶται ἐκ τοῦ πρόρρητα.*

[7]) *Οὕτως ἔγραψεν ὁ* Elmsley *ὅτι τὰ χειρόγραφα ἔχουσιν ἔ 'Αρτίχριστος λέγεται ὁ νεωστ λημένος. Λέγεται δὲ κατὰ πρ*

[8]) *Δηλαδὴ τὰ ἀναφερόμενα προφύλαξιν τῶν φορεμάτων. ἀναλαμβάνει δὲ τὴν φράσιν τῆς ἑπομένης προτάσεως.*

ἔχρισα μὲν κατ' οἶκον ἐν δόμοις[1] κρυφῇ
μαλλῷ, σπάσασα κτησίου[2] βοτοῦ λάχνην,
κἄθηκα συμπτύξασ' ἁλαμπὲς ἡλίου
κοίλῳ ζυγάστρῳ[3] δῶρον, ὥσπερ εἶδετε.
Εἶσω δ' ἀποστείχουσα φάσμα[4] δέρκομαι
ἄφραστον, ἀξύμβλητον[5] ἀνθρώπῳ μαθεῖν.
Τὸ γὰρ κάταγμα[6] τυγχάνω ῥίψασά πως
[τῆς οἰός[7], ᾧ προύχριον, ἐς μέσην φλόγα,]
ἀκτῖν' ἐς ἡλιῶτιν· ὡς δ' ἐθάλπετο,
ῥεῖ πᾶν ἄδηλον καὶ κατέψηκται χθονί[8],

'Επειδὴ λείπει τὸ ἀντικείμενον
ἔχρισα, ὁ μὲν Dindorf ἔγραψεν
τόν, ὁ δὲ Heimsoeth τὸν πέ-
ἐν δόμοις. Διὰ τοῦ ἐν δό-
δηλοῖ, ὅ,τι καὶ διὰ τοῦ ἐν μυ-
ἐν στίχ. 686. *Οὐχὶ διάφορον*
τὸ παρὰ *Θεοκρίτ.* 17, 17 *« καὶ*
ὄσσος δόμος ἐν Διὸς οἴκῳ δέ-
και ».

Τὸ πρόβατον λέγει κ τ ή σ ι ο ν,
εἶναι κτῆμα. Κατὰ τὸν Σχολια-
« 'Απὸ κτησίου προβάτου τὸν
ὸν σπάσασα. Κτήνη δὲ καὶ τὰ
ατα λέγεται » 'Εντεῦθεν λαβὼν
μὴν ὁ Hartung εἰκάζει κ τ η ν ι-

'Ο Σχολιαστὴς ἐξηγεῖ· "εἰς ξύ-
σορόν, τουτέστιν κιβωτόν„. Οὐχὶ
άνως ὁ Blaydes τὴν ἑπομένην
σιν τρέπει εἰς ᾧ π ε ρ ε ἴ δ ε τ ε.
'Εν τοῖς χειρογράφοις ἀναγινώ-
αι δ έ ρ κ ο μ α ι φ ά τ ι ν, ἀνθ' οὗ
aydes ἔγραψε δ έ ρ κ ο μ α ι θ έ α ν.
ἷς ἐδεξάμεθα τὴν διόρθωσιν τοῦ
ὴ γράψαντος φ ά σ μ α δ έ ρ κ ο-
. Παραπλήσιον εἶναι τὸ ἐν 'Η-
λέκτρ. 1466 « ὦ Ζεῦ, δέδορκα φάσμα » καὶ *Εὐριπίδ. ἐν 'Ορέστ.* 879 « ὁρῶ δ' ἄελπτον φάσμα ».

[5]) *'Ακατάληπτον δι' ἄνθρωπον, ὥστε νὰ τὸ ἐννοήσῃ· διότι εἶναι δαιμόνιον καὶ ὑπερφυές. 'Η φράσις περιέχει πλεονασμόν, ἀλλὰ παραπλήσιον ὑπάρχει ἐν Φιλοκτήτ.* 857 "εὐδρακὴς ὕπνος ἄϋπνος λεύσσειν „.

[6]) *Τὸ κάταγμα, ὅπερ λέγεται καὶ μ ή ρ υ μ α ἢ μ ή ρ υ γ μ α, εἶναι ἐγνεμένον μαλλίον. Ὅ μὲν* Dindorf *τὸ π ω ς ἐξηγεῖ* nescio quomodo (*οὐκ οἶδ' ὅπως*), *ὁ δὲ* Hartung *ἀπροσέκτως. 'Ημεῖς ἔχομεν τὴν γνώμην, ὅτι ἠδύνατο νὰ τραπῇ εἰς που.*

[7]) *Οὐχὶ ἀπιθάνως ὁ* Dobree *ἐθεώρησε τὸν στίχον ὡς μεταγενεστέραν προσθήκην, διότι εἶναι περιττός. 'Ο* Hartung *σῴζει τὸν στίχον τρέπων τὴν φλόγα εἰς χ θ ό ν α κατὰ τὸν Σχολιαστήν· « τὸ γὰρ ἔριον τοῦ προβάτου μετὰ τὸ χρῖσαι τὸν πέπλον ἔρριψεν ὑ π ὸ τ ό π ο ν καταλαμβανόμενον ὑπὸ τοῦ ἡλίου ».*

[8]) *Καὶ κατασυντρίβεται εἰς τὴν*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μορφῇ μάλιστ' εἰκαστὸν ὥστε πρίονος[1]
ἐκβρώματ' ἂν βλέψειας ἐν τομῇ ξύλου.
Τοιόνδε κεῖται προπετές[2]· ἐκ δὲ γῆς, ὅθεν
προύκειτ', ἀναζέουσι θρομβώδεις[3] ἀφροί,
γλαυκῆς ὀπώρας[4] ὥστε πίονος ποτοῦ
χυθέντος εἰς γῆν Βακχίας[5], ἀπ' ἀμπέλου.
Ὥστ' οὐκ ἔχω τάλαινα ποῖ γνώμης πέσω[6]·
ὁρῶ δέ[7] μ' ἔργον δεινὸν ἐξειργασμένην.
Πόθεν[8] γὰρ ἄν ποτ', ἀντὶ τοῦ θνήσκων ὁ θὴρ
ἐμοὶ παρέσχ' εὔνοιαν, ἧς ἔθνῃσχ' ὕπερ[9];
οὐκ ἔστιν· ἀλλὰ τὸν βαλόντ' ἀποφθίσαι
χρῄζων ἔθελγέ[10] μ'· ὧν ἐγὼ μεθύστερον,

γῆν. Σημειωτέον, ὅτι ὁ Hartung οὐχὶ ἀπιθάνως ἔτρεψεν εἰς φ λ ο γ ί.

4) Κατὰ τὸν Σχολιαστήν· « Θαυμαστικῶς δὲ βρώματα πρίονος εἶπεν τὸ πρίσμα· τρόπον γάρ τινα ἐσθίων τὸ ξύλον ὁ πρίων ἐκεῖνο τὸ λεπτὸν ἀποβάλλει ». Καὶ ὁ Νίκανδρος λέγει ἐν Θηρ. 52 « ἡ πριόνεσσι τομαίη κέδρος, πουλυόδουσι καταιψηχθεῖσα γενοίοις ».

2) Ὁ Σχολιαστὴς ἐξηγεῖ· « Ἐρριμμένον, καὶ προσπεσόν χαμαί ». Τὸ ὅθεν ἔπρεπε νὰ ἦναι ὅ π ο υ, ὅπερ ἀπαιτεῖ τὸ π ρ ο ύ κ ε ι τ ο, ὡς παρὰ Θουκυδίδ. I, I, 89 " διεκομίζοντο εὐθύς, ὅθεν ὑπεξέθεντο, παῖδας „ ἀντὶ ἐκεῖθεν, ἅπου.

3) Ὑπὸ τοῦ Hartung τρέπεται εἰς θ ε ρ μ ώ δ ε ι ς, ὅπερ φαίνεται ἥκιστα πιθανόν. Ὁ Σχολιαστὴς ἐξηγεῖ· " περιφερῆ φυσήματα „.

4) Ὀπώρα ἐνταῦθα εἶναι ἡ σταφυλή, ὡς ὁ Ἡσύχιος λέγει· " ὀπώρα . . . κυρίως δὲ ἡ σταφυλή. Κατα-

χρησικῶς δὲ καὶ ἐπὶ τῶν ἄλλω[ν] κροδρύων », Πῖον δὲ ποιὸν [ἐστι] τὸ γλεῦκος, ὁ παρὰ τοῖς νεωτ[έροις] μοῦστος. Κατὰ τὸν Σχολιαστ[ήν] « Τοῦ γλεύκους τοῦ ἀρτίως ἐκ[πε]σθέντος καὶ νέου ».

5) Ὡς γνωστόν, ὁ Βάκχος [ἦν] θεὸς τῆς ἀμπέλου.

6) Ὥστε δὲν γνωρίζω ἡ ταλ[αί]πωρος εἰς ποίαν σκέψιν νὰ ἔλθω.

7) Ποιεῖ ἀντίθεσιν πρὸς τὸ ἔ χ ω.

8) Ἐκ ποίας ἀφορμῆς; ἐκ ποί[ας] αἰτίας; Ἡ ἀντὶ μετὰ γενικῆς [ἔχει] τὴν ἀνταλλαγήν.

9) Ἐν τοῖς χειρογράφοις [ἀν]νώσκεται ὕ π ε ρ, ἀνθ' ἧς ὁ Ν[ικ]ανδρος ἔγραψεν ὕπο κατὰ τὸν Σχολια[στ]ὴν ἐξηγοῦντα « Ὑφ' ἧς, δι' ἣν ».

10) Ὁ Σχολιαστὴς ἐξηγεῖ διὰ [τ]ῆπάτα. Ἀντὶ τοῦ ὧν, περιεμέν[ω] ἐνικὸν ἀριθμόν, ἀλλὰ τὸ τοι[οῦ]τον ἀπαντᾷ συχνάκις παρὰ τοῖς ἀρ[χ]αίοις.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὅτ' οὐκέτ' ἀρκεῖ[1], τὴν μάθησιν ἄρνυμαι
Μόνη[2] γὰρ αὐτόν, εἴ τι μὴ ψευσθήσομαι
γνώμης, ἐγὼ δύστηνος ἐξαποφθερῶ.
Τὸν γὰρ βαλόντ' ἄτρακτον[3] οἶδα καὶ θεὸν
Χείρωνα πεμήναντα[4], χὤνπερ ἂν θίγῃ,
φθείρει τὰ πάντα[5]· κνωδάλου δὲ τοῦδε δὴ
σφαγῶν[6] διελθὼν ἰὸς αἵματος μέλας
πῶς οὐκ' ὀλεῖ καὶ τόνδε[7]; δόξῃ γοῦν ἐμῇ.

1) *Ἐνταῦθα σημαίνει ὠφελεῖ. Ἠδύνατό τις ἐνταῦθα νὰ ὑπομνήσῃ τὸ Ὁμηρικόν, ῥεχθὲν δέ τε νήπιος ἔγνω.*

2) *Ἄνευ σπουδαίας αἰτίας τὸν στίχον τοῦτον καὶ τὸν ἑπόμενον ὁ Nauck ἔθηκεν ἐν ἀγκύλαις. Ἡ ἑπομένη φράσις κεῖται ἀντὶ τῆς εἰ μή τις, ὡς ἐν Οἰδίποδ. τυράνν. 124 «εἴ τι μὴ ξὺν ἀργύρῳ ἐπράσσετ' ἐνθένδ'».*

Ὁ Σχολιαστὴς ἐξηγεῖ· «Εἰ μὴ διαμάρτοιμαι τῆς γνώμης, ἣν ἔχουσα περὶ αὐτοῦ τυγχάνω». Παραπλήσιον εἶναι τὸ ἐν Αἴαντ. 1382 «καὶ μ' ἔψευσας ἐλπίδων πολὺ» καὶ παρ' Αἰσχύλ. ἐν Πέρσ. 475 «ὡς ἄρ ἔψευσας φρενῶν Πέρσας».

3) *Ἐννοεῖ τὸ βέλος, δι' οὗ ἔτρωσε τὸν Νέσσον.*

4) *Περὶ τούτου παραδίδει ὁ Ἀπολλόδωρος ἐν Βιβλ. Ἰ, 5, "πρὸς Χείρωνα συνέφυγον (οἱ Κένταυροι), οὓς ἐξελαθεὶς ὑπὸ Λαπιθῶν ὄρους Πηλίου παρὰ Μαλέαν κατῴκησε. Τούτῳ περιπεπτωκότας τοὺς Κενταύρους τοξεύων (Ἡρακλῆς), Ἴησι βέλος, τὸ δὲ ἐνεχθὲν Ἐλάτου διὰ τοῦ βραχίονος εἰς τὸ γόνυ τοῦ Χείρωνος ἐμπήγνυται. Ἀνιαθεὶς δὲ Ἡρακλῆς προσδραμὼν τότε βέλος ἐξείλκυσε καὶ δόντος Χείρωνος φάρμακον ἐπέθηκεν. Ἀνίατον δ' ἔχων τὸ ἕλκος εἰς τὸ σπήλαιον ἀπαλλάσσεται". Τὸ χὤνπερ εἶναι διόρθωσις τοῦ* Wakefield, *διότι τὰ χειρόγραφα ἔχουσι χὥσπερ.*

5) *Ἐν τοῖς χειρογράφοις ἀναγινώσκεται τὰ πάντα κνώδαλ' ἐκ δὲ τοῦδ' ὅδε, ἀλλ' ὁ* O. Hense *ἔτρεψεν, ὡς ἔχομεν ἐν τῷ κειμένῳ. Τὴν γραφὴν τῶν χειρογράφων ὁ Σχολιαστὴς ἐξηγεῖ· "Καὶ ὅσα ἂν θίγῃ τοῦ Ἡρακλείου βέλους, εἴτε ἄνθρωπος, εἴτε θηρίον, ἀπόλλυται". Κνώδαλον εἶναι τὸ θηρίον καὶ δὴ καὶ ὁ Κένταυρος.*

6) *Ἡ γενικὴ ἐξαρτᾶται ἐκ τοῦ διελθών. Μεγάλην δυσκολίαν παρέχει τοῖς ἑρμηνευταῖς ἡ φράσις αἵματος μέλας, ἀνθ' ἧς ὁ* Wecklein *ἔγραψεν εἰς αἵματος μιγάς. Συνήθως ἡ φράσις θεωρεῖται ἰσοδύναμος τῇ αἵματι μελανθείς. Ἐν τῷ λόγῳ τῆς ἡρωΐδος ὑπόκειται ἡ ἔννοια, ὅτι ὁ ἰὸς τοῦ βέλους τοῦ Ἡρακλέους διελθὼν διὰ τοῦ αἵματος τοῦ Νέσσου ἐγένετο βλαβερώτερος.*

7) *Μετεχειρίσθη τὴν ἀντωνυμίαν*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καίτοι δέδοκται, κεῖνος εἰ σφαλήσεται,
τούτῳ[1] *σὺν ὁρμῇ κἀμὲ συνθανεῖν ἅμα·*
ζῆν γὰρ κακῶς κλύουσαν[2] *οὐκ ἀνασχετόν,*
ἥτις προτιμᾷ μὴ κακὴ πεφυκέναι.

ΧΟΡΟΣ.

Ταρβεῖν μὲν ἔργα δείν' ἀναγκαίως ἔχει[3]*,*
τὴν δ' ἐλπίδ' οὐ χρὴ τῆς τύχης κρίνειν[4] *πάρος.*

ΔΗΙΑΝΕΙΡΑ.

Οὐκ ἔστιν ἐν τοῖς μὴ καλοῖς βουλεύμασιν

ἀντὶ νὰ εἴπῃ· Ἡρακλέα ἢ τὸν ἐμὸν ἄνδρα. Ἐν τῇ ἑπομένῃ συντάξει ἐξυπακούεται ἡ φράσις καὶ Ἡρακλέα ὀλεῖ. κατὰ τὴν γνώμην μου τοὐλάχιστον καὶ τὸν Ἡρακλέα θὰ ἀπολέσῃ.

[1]) *Ἐξ ἐμῆς διορθώσεως· διότι τὰ χειρόγραφα ἔχουσι ταύτῃ σὺν ὁρμῇ. Ἀλλ' οἱ κριτικοὶ εὗρον δυσκολίαν περὶ τὴν ἑρμηνείαν, ἐξ ὧν ὁ μὲν* Brunck *ἔγραψε ταὐτῇ, ὁ δὲ* Wunder *ταύτῃ σὺν ἀκμῇ. Ὁ* Hermann *τὴν φράσιν ἐξηγεῖ* hoc conatu simul *διὰ δὲ τοῦ* conatu *ἐννοεῖ τὴν ἀποστολὴν τοῦ πέπλου. Ἀλλ' ἡ ἀποστολὴ τούτου δύναται νὰ ὀνομασθῇ ὁρμή; Κατὰ τὴν ἡμετέραν διόρθωσιν ἡ ἑρμηνεία τοῦ χωρίου βαίνει ὅσον οἷόν τε καλῶς· καὶ ὅμως ἔχω ἀποφασίσει, ἐὰν ἐκεῖνος ἀποθάνῃ, μετὰ τούτου προθύμως καὶ ἐγὼ νὰ συναποθάνω συγχρόνως. Τὴν αὐτὴν σημασίαν ἔχει ἡ λέξις ὁρμὴ καὶ ἐν Φιλοκτήτ.* 566 «*χοἱ ξυνανῦβάται οὕτω καθ' ὁρμὴν δρῶσιν Ἀτρειδῶν χάριν;*» *Νομίζομεν δ', ὅτι ἁμαρτάνουσιν οἱ γράφοντες ταὐτῇ. διότι ὁ Ἡρακλῆς δὲν μέλλει νὰ ἀποθάνῃ μετὰ προθυμίας. Εἰκάζομεν δ', ὅτι ἡ ἑπομένη δοτικῇ τοῦ θηλυκοῦ γένους συνεβάλετο, ὅπως ἀπατήσῃ τὸν ἀντιγραφέα.*

[2]) *Διότι δὲν εἶναι ἀνεκτὸν γυνὴ κατηγορουμένη νὰ ζῇ. Παρὰ τοῖς ἀρχαίοις ὑπῆρχεν ἡ ἀρχὴ "ἢ καλῶς ζῆν, ἢ καλῶς τεθνηκέναι τὸν εὐγενῆ χρή" παρὰ Σοφοκλ. ἐν Αἴαντ.* 47[illegible] *καὶ Πλούταρχ. ἐν βίῳ Πελοπίδ.* 1.5 "*οὔτ' ἔθανον τὸ ζῆν θέμενοι κα[illegible] λὸν οὔτε τὸ θνήσκειν, ἀλλὰ τὸ ταῦτ[illegible] καλῶς ἀμφότερ' ἐκτελέσαι*".

[3]) *Εἶναι φυσικὸν νὰ φοβῆται τις φοβερὰ ἔργα.*

[4]) *Οὐχὶ ὀρθῶς ἐξηγεῖ ὁ Σχολιαστής· "οὐ χρὴ δὲ πρὸ τῆς ἐκβάσεως καὶ τῶν συμβησομένων αἱρεῖσθαι τὰ δεινά". Διότι ἡ φράσις δηλοῖ, ὅτι δὲν πρέπει τις πρὸ τῆς ἐκβάσεως νὰ κρίν[illegible]*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

οὐδ' ἐλπίς[1], ἥτις καὶ θράσος τι προξενεῖ.

ΧΟΡΟΣ.

Ἀλλ' ἀμφὶ[2] τοῖς σφαλεῖσι μὴ ἐξ ἑκουσίας
ὀργὴ πέπειρα[3], τῆς σε τυγχάνειν πρέπει.

ΔΗΙΑΝΕΙΡΑ.

Τοιαῦτα δ' ἂν λέξειεν[4] οὐχ ὁ τοῦ κακοῦ
κοινωνός, ἀλλ' ᾧ μηδέν ἐστ' οἴκοι[5] βαρύ. 730

ΧΟΡΟΣ.

Σιγᾶν ἂν ἁρμόζοι σε τὸν[6] πλείω λόγον,
εἰ μή τι λέξεις παιδὶ τῷ σαυτῆς· ἐπεὶ

περὶ τῆς ἐλπίδος, ἂν αὕτη ἦναι ψευδὴς ἢ ἀληθής, ὡς λέγει ὁ Wunder.

[1]) *Τοῦτο κεῖται κατ' ἐπίδοσιν. Ὁ χορὸς εἶπε περὶ ἐλπίδος, ἀλλ' ἡ Δηϊάνειρα ἀποκρίνεται, ὅτι οὐδὲ ἐλπὶς ὑπάρχει εἰς τὰ μὴ καλῶς ἀποφασισθέντα. Τὸ προξενεῖ ἐνταῦθα σημαίνει παρέχει.*

[2]) *Ἡ ἀμφὶ μετὰ δοτικῆς δηλοῖ τὸ ὡς πρός τι, ὡς ἐν Ἰλιάδ. Η, 408 "ἀμφὶ δὲ νεκροῖσιν κατακαιέμεν οὔτι μεγαίρω„ καὶ Σοφοκλ. ἐν Αἴαντ. 684 „ἀλλ' ἀμφὶ μὲν τούτοισιν εὖ σχήσει». Ἡ φράσις ἐξ ἑκουσίας κεῖται ἀντὶ ἐπιρρήματος, ὡς τὸ ἐκ ταχείας ἐν στίχ. 395. Ὁ ἄνθρωπος εὐθύνεται μόνον διὰ πράξεις, ἃς ἐξ ἐλευθέρας θελήσεως καὶ ἐκ κακῆς προθέσεως ἐξετέλεσεν, οὐχὶ δὲ καὶ διὰ τὰ ἀκούσια ἁμαρτήματα, Θουκυδίδ. ΙΙΙ, 40 «ἄκοντες μὲν οὐκ ἔβλαψαν, εἰδότες δὲ ἐπεβούλευσαν· ξύγγνωμον δ' ἐστὶ τὸ ἀκούσιον„ καὶ Σοφοκλ. ἐν ἀποσπάσμ. 604 "ἄκων δ' ἁμαρτὼν οὔτις ἀνθρώπων κακός„.*

[3]) *Κυρίως σημαίνει τὴν ὥριμον, εἶτα δὲ τὴν μαλακήν. Κατὰ τὸν Σχολιαστήν· «τοῖς ἀκουσίως σφαλεῖσιν ἡ ἐπαγομένη ἀρχὴ ἐστι πραεῖα, ἧς σε δίκαιον τυγχάνειν παρὰ τοῦ Ἡρακλέους».*

[4]) *Ὁ Σχολιαστὴς ἑρμηνεύει. «Ὁ μὴ δυστυχῶν τοιαῦτα ἂν εἴποι».*

[5]) *Εἰς τὴν λέξιν ταύτην προσκρούσας ὁ F. W. Schmidt ἔγραψεν αὐτῷ, ἀλλὰ δὲν εἶναι ἀνάγκη διορθώσεως· διότι ἡ ἔννοια τοῦ οἴκου εἶναι ἀναγκαία ἐνταῦθα. Παραπλήσων εἶναι τὸ ἐν Ἰλιάδ. Ω, 240 "οὔ νυ καὶ ὑμῖν οἴκοι ἔνεστι γόος, ὅτι μ' ἤλθετε κηδήσοντες;».*

[6]) *"Εθηκε τὸ ἄρθρον, ὅπως δηλώσῃ ἐκεῖνα, ἅπερ μέλλει νὰ εἴπῃ, ὡς ἐν Οἰδίποδι ἐπὶ Κολων. 36 "πρὶν νῦν τὰ πλείον' ἱστορεῖν„ καὶ ἐν Φιλοκτήτ. 576 "μὴ νῦν μ' ἔρῃ τὰ πλείον'„. Κατὰ τὸν Σχολιαστήν·*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροι

πάρεστι, μαστὴρ[1] πατρὸς ὃς πρὶν ᾤχετο.

ΥΛΛΟΣ.

Ὦ μῆτερ, ὡς ἄν ἐκ τριῶν σ' ἓν εἱλόμην[2],
ἢ μηκέτ' εἶναι ζῶσαν, ἢ σεσῳσμένην[3]
ἄλλου κεκλῆσθαι μητέρ', ἢ λώους φρένας
τῶν νῦν παρουσῶν τῶνδ' ἀμείψασθαί[4] ποθεν.

ΔΗΙΑΝΕΙΡΑ.

Τί δ' ἔστιν[5], ὦ παῖ, πρός γ' ἐμοῦ στυγούμενον;

ΥΛΛΟΣ.

Τὸν ἄνδρα[6] τὸν σὸν ἴσθι, τὸν δ' ἐμὸν λέγω
πατέρα, κατακτείνασα τῇδ' ἐν ἡμέρᾳ.

ΔΗΙΑΝΕΙΡΑ.

Οἴμοι, τίν' ἐξήνεγκας, ὦ τέκνον, λόγον;

"Πρέπει σοι λοιπὸν σιωπᾶν καὶ μηκέτι περὶ τούτων πλείω λέγειν, εἰ μὴ ἄρα τι τῷ σῷ παιδὶ μέλλεις ἐρεῖν παραγινομένῳ„.

1) Ἰσοδυναμεῖ τῇ φράσει, τὸν πατέρα μαστεύσων ᾤχετο· ἐπορεύθη, ἵνα ἀναζητήσῃ τὸν πατέρα αὐτοῦ. Ὁ Ὕλλος ἀπῆλθε πρὸς ἀναζήτησιν τοῦ πατρός, ἀλλὰ τοῦτο ἐγένετο, ἐν ᾧ δὲν ἦτο παρὼν ὁ χορός. Δὲν ἦτο ὅμως ἀναγκαῖον νὰ μνημονεύσῃ ὁ ποιητής, πόθεν ὁ χορὸς ἔμαθε τὴν εἴδησιν.

2) Ἐξυπακούεται ἡ ὑπόθεσις εἰ ἐξῆν, ὡς ἐν Αἴαντ. 88 "ἤθελον δ' ἂν ἐκτὸς ὢν τυχεῖν„. Ἡ ἀντωνυμία σε εἶναι ὑποκείμενον καὶ τῶν τριῶν ἑπομένων ἀπαρεμφάτων.

3) Δὲν διαφέρει τοῦ προηγουμένου ζῶσαν. Ὁ Ὕλλος αἰσχύνεται νὰ ὀνομάζηται υἱὸς τῆς Δηϊανείρας.

4) Ὁ Nauck ἐπεθύμει νὰ γραφῇ ἀνταμείψασθαι, ἀντὶ τοῦ τῶνδ' ἀμείψασθαι.

5) Κατὰ τὸν Nauck ἐξηγεῖται· τί δ' ἔστι (γεγένηται) πρός γ' ἐμοῦ, ὅπερ στυγεῖς; Ἀλλ' ὁ μὲν Fröhlich τρέπει εἰς πρὸς γ' ἐμοῦ 'ξειργασμένον, ὁ δ' Hense πρὸς γ' ἐμοῦ κυκώμενον καὶ ὁ Campe (Philol 22, ἐν σελιδ. 38) πρός γε σοῦ στυγούμενον. Ἂν ἦτο ἀνάγκη διορθώσεως, ἡ τελευταία φαίνεται ἡμῖν πιθανωτέρα.

6) Μετ' ἐμφάσεως τὸν Ἡρακλέα πρῶτον μὲν ὀνομάζει ἄνδρα τῆς Δηϊανείρας, εἶτα δὲ πατέρα αὐτοῦ. Παραπλήσια εἶναι τὰ ἐν Οἰδίποδ. ἐπὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΥΛΛΟΣ.

Οὐ οὐχ οἷόν τε μὴ οὐ τελεσθῆναι[1]· τὸ γὰρ
φανθὲν[2] τὶς ἂν δύναιτ' ἂν ἀγένητον ποιεῖν;

ΔΗΙΑΝΕΙΡΑ.

Πῶς εἶπας, ὦ παῖ; τοῦ παρ' ἀνθρώπων μαθὼν
ἄζηλον[3] οὕτως ἔργον εἰργάσθαι με φῄς; 745

ΥΛΛΟΣ.

Αὐτὸς[4] βαρεῖαν ξυμφορὰν ἔν ὄμμασιν
πατρὸς[5] δεδορκὼς κοὐ κατὰ γλῶσσαν κλύων.

Κολων. 1275 «ὦ σπέρματ' ἀνδρὸς τοῦδ', ἐμαὶ δ' ὁμαίμονες» καὶ *Εὐριπίδ. ἐν Ἑκάβ.* 534 «ὦ παῖ Πηλέως, πατὴρ δ' ἐμός».

[1]) Κατὰ τὸν *Σχολιαστήν*· «τὸ ἅπαξ πραχθὲν καὶ ἐπὶ πέρας ἐλθὸν πῶς ἄν τις μὴ γενέσθαι ποιήσειεν;» Ἐν ᾧ λέγεται, ὅτι τὸ θεῖον πάντα δύναται καὶ ὁ θεὸς εἶναι παντοδύναμος, ὅμως τὸ ἀνθρώπινον λογικὸν δὲν δύναται νὰ ἐννοήσῃ, πῶς τὸ τετελεσμένον δύναται νὰ γείνῃ ἀνεκτέλεστον. Ὁ μὲν Πίνδαρος τὴν ἀδυναμίαν ἀπέδωκε τῷ χρόνῳ ἐν *Ὀλυμπ. Π*, 29 «τῶν δὲ πεπραγμένων ἀποίητον οὐδ' ἂν χρόνος ὁ πάντων πατὴρ δύναιτο θέμεν ἔργων τέλος», ὁ δὲ Ἀγάθων τῷ θείῳ, ἐν ἀποσπάσμ. 5 «μόνου γὰρ αὐτοῦ καὶ θεὸς στερίσκεται, ἄκραντα ποιεῖν ἅσσ' ἂν ᾖ πεπραγμένα».

[2]) Ὁ Nauck ἔτρεψεν εἰς κραν-θέν, ἀλλ' ἡ διόρθωσις δὲν εἶναι ἀναγκαία· διότι τὸ φανὲν κεῖται ἀντὶ τοῦ τελεσθέν.

[3]) Τὸν στίχον τόνδε ὁ Nauck τίθησιν ἐν ἀγκύλαις· διότι εἶναι περιττὸς καὶ διότι διαταράσσει τὴν συμμετρίαν· ἐν στίχ. 738. 741 καὶ 748 ἡ Δηϊάνειρα μόνον δὶ ἑνὸς στίχου ἔλεγε. Τὰς αἰτίας θεωροῦμεν ἀσθενεῖς. Τὸ ἐπίθετον ὁ *Σχολιαστὴς* ἐξηγεῖ· «φαῦλον, ὃ οὐδεὶς ζηλώσειεν».

[4]) Προτάσσει τὴν λέξιν μετ' ἐμφάσεως. Παραπλήσιαι φράσεις ὑπάρχουσι πολλαὶ παρὰ τοῖς τραγικοῖς, ὡς παρ' *Αἰσχύλ. ἐν Πέρσ.* 266 «παρών γε κοὐ λόγους ἄλλων κλύων φράσαιμ' ἄν», *Εὐριπίδ. ἐν Ἰφιγεν. ἐν Ταύρ.* 901 «τάδ' εἶδον αὐτὴ κοὐ κλύουσ' ἀπαγγελῶ» καὶ *ἐν Μηδ.* 652 «εἴδομεν, οὐκ ἐξ ἑτέρων μῦθον ἔχω φράσασθαι».

[5]) Ἡ γενικὴ ἀνήκει οὐχὶ εἰς τὸ ὄμμασιν, ἀλλ' εἰς τὸ ξυμφοράν. Ἐν τοῖς χειρογράφοις ἀναγινώσκεται, ὡς ἔχομεν ἐν τῷ κειμένῳ, ἀλλ' ὁ Blaydes ἔτρεψεν εἰς κοὐκ ἀπὸ γλώσσης κλύων, ὅπερ εἶναι πιθανώτατον· διότι ὑπάρχουσι παραπλήσια, ὡς παρ' *Αἰσχύλ. ἐν Ἀγα-*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΔΗΙΑΝΕΙΡΑ.

Ποῦ δ' ἐμπελάζεις τἀνδρὶ καὶ παρίστασαι[1];

ΥΛΛΟΣ.

Εἰ χρὴ μαθεῖν σε, πάντα δὴ φωνεῖν χρεών.
Ὅθ' εἶρπε[2] *κλεινὴν Εὐρύτου πέρσας πόλιν,*
νίκης ἄγων τροπαῖα κἀκροθίνια[3],
ἀκτή τις ἀμφίκλυστος[4] *Εὐβοίας ἄκρον*
Κήναιον ἔστιν, ἔνθα πατρῴῳ Διί
βωμοὺς ὁρίζει τεμενίαν τε φυλλάδα[5]·
οὗ νιν τὰ πρῶτ' ἐσεῖδον ἄσμενος πόθῳ[6].
Μέλλοντι δ' αὐτῷ πολυθύτους[7] *τεύχειν σφαγὰς*

μέμν. 813 "οὐκ ἀπὸ γλώσσης θεοὶ κλύοντες„ καὶ παρὰ Κρατίν. 2, 86 "ἀπὸ γλώττης φράσω σοι· μνημονεύω γὰρ καλῶς„ καὶ Θουκυδίδ. VII, 10 «ὅσα τε ἀπὸ γλώσσης εἴρητο αὐτοῖς.„.

[1]) Ὁ Σχολιαστὴς ἑρμηνεύει· "Προσπελάζεις. Παρίστασαι δὲ ἀντὶ τοῦ πλησίον γέγονας».

[2]) Ἐπειδὴ ἡ Δηϊάνειρα ἠρώτησε διὰ τοῦ ποῦ, περιεμένομεν προσδιορισμὸν τοῦ τόπου, ἀνθ' οὗ ἔχομεν τοῦ χρόνου. Ἐν τῷ στίχῳ ὅμως 755 ἀναφορικῶς ἐδήλωσε τὸν τόπον. Παραπλήσιον εἶναι τὸ παρ' Εὐριπίδ. ἐν Ἱππολύτ. 1198 «ἐπεὶ δ' ἔρημον χῶρον εἰσεβάλλομεν, ἀκτή τις ἔστι — ἔνθεν τις ἠχὴ βρόμον μεθῆκε» καὶ Εὐριπίδ. ἐν Ἰφιγεν. ἐν Ταύρ. 250 "Ἐπεὶ τὸν εἰσρέοντα διὰ Συμπληγάδων βοῦς ὑλοφορβοὺς πόντον εἰσεβάλλομεν, ἣν τις διαρρὼξ κυμάτων πολλῷ σάλῳ κοιλωπὸς ἀγμός... Ἐνταῦθα δισσοὺς εἶδέ τις νεανίας„ Παράβαλλ. καὶ ἐν στιχ. 1449.

[3]) Ἡ λέξις εἶναι σύνθετος ἐκ τοῦ ἄκρος καὶ θὶς καὶ σημαίνει τὰς ἀπαρχὰς ἤτοι τὰ ἐξαίρετα τῶν λαφύρων τὰ προσφερόμενα τοῖς θεοῖς.

[4]) Ἀμφίκλυστος λέγεται ὁ ἐκ δύο μερῶν ἢ πανταχόθεν κατακλυζόμενος. Κατὰ τὸν Σχολιαστήν· "Ἦλθεν εἰς τὴν Εὔβοιαν, ᾗ ἀκρωτήριόν ἐστι Κήναιον„. Τὸ ἀκρωτήριον τοῦτο πρόκειται τῆς Αἰδηψοῦ.

[5]) Ὁ Σχολιαστὴς ἐξηγεῖ· "τέμενος πολύφυλλον„.

[6]) Δηλοῖ τὸ αἴτιον τοῦ ἄσμενος. Ὁ "Υλλος εἶδε τὸν πατέρα αὐτοῦ μετὰ χαρᾶς, διότι ἐπόθει τοῦτον. Πάνυ ἀπιθάνως ὁ O. Hense εἶκασεν ἄσμενος παρὼν, διότι ἡ διόρθωσις φθείρει καλὴν ἔννοιαν.

[7]) Νὰ σφάξῃ πολλὰς βοῦς πρὸς θυσίαν. Παραπλήσιον εἶναι τὸ ἐν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κῆρυξ ἀπ' οἴκων[1] ἵκετ' οἰκεῖος Λίχας,
τὸ σὸν φέρων δώρημα, θανάσιμον πέπλον·
ὃν κεῖνος ἐνδύς, ὡς σὺ προυξεφίεσο[2],
ταυροκτονεῖ[3] μὲν δώδεκ' ἐντελεῖς ἔχων
λείας ἀπαρχὴν[4] βοῦς· ἀτὰρ τὰ πάνθ' ὁμοῦ
ἑκατὸν προσῆγε συμμιγῆ βοσκήματα.
Καὶ πρῶτα μὲν[5] δείλαιος ἵλεῳ φρενί,
κόσμῳ τε χαίρων καὶ στολῇ[6], κατήρχετο·
ὅπως[7] δὲ σεμνῶν ὀργίων ἐδαίετο
φλὸξ αἱματηρὰ[8] κἀπὸ πιείρας δρυός[9],

Αἴαντ. 633 «χερόπλακτοι ἐν στέρνοισι πεσοῦνται».

1) *Δηλαδὴ ἐκ Τραχῖνος. Ὁ Λίχας ὀνομάζεται οἰκεῖος, διότι ἀνῆκε τῇ ἀκολουθίᾳ τοῦ Ἡρακλέους. Κατὰ τὸν Σχολιαστὴν ἐλέγετο σύντροφος τοῦ Ὕλλου. Ἐπειδὴ ὅμως προηγεῖται τὸ ἀπ' οἴκων, οἱ κριτικοὶ προσκρούουσι καὶ ὁ μὲν* O Hense *εἰκάζει ὠκύπους, ὁ δὲ* I. W. Schmidt *εὔκαιρος.*

2) *Ὁ Σχολιαστὴς ἐξηγεῖ· «Ἐνδυσάμενος, ὡς σὺ ἐνετείλω».*

3) *Κεῖται ἀντὶ τοῦ κτείνει. Παραπλήσια εἶναι τὰ οἰνοχοεῖν νέκταρ, οἰκοδομεῖν θαλάμους, ναυκληρεῖν πόλιν καὶ κυνηγεῖν ἰχθῦς. Τὸ δ' ἐντελεῖς βοῦς ἐγένετο καὶ τὰ τὸ Ὁμηρικὸν ἐν Ἰλιάδ. Α, 315 «ἕρδον δ' Ἀπόλλωνι τελήεσσαν ἑκατόμβας ταύρων ἠδ' αἰγῶν». Ὁ Ἡρακλῆς προσήγαγεν ἓν ὅλῳ ἑκατὸν βοσκήματα, ἀλλὰ τὰ δώδεκα ἦσαν ἐκλεκτά. Ἡ Εὔβοια εἶχε καλοὺς βοῦς καὶ ἐντεῦθεν ἔσχε τὸ ὄνομα. Καὶ ἐν τοῖς νεωτέροις χρόνοις, καθ' οὓς ἡ Ἑλληνικὴ κτηνοτροφία ἐλωβήθη, οἱ βόες τῆς Εὐβοίας ἐφάνησάν μοι ὑπερέχοντες τῶν τῆς ἄλλης Ἑλλάδος.*

4) *Δὲν διαφέρει τοῦ ἀκροθίνια.*

5) *Ἡ ἀπόδοσις κεῖται ἐν τῇ φράσει ὅπως δέ. Τὴν ἑπομένην φράσιν ὁ Σχολιαστὴς ἐξηγεῖ ἱλαρᾷ τῇ φρενί.*

6) *Εἶναι τὸ καλούμενον σχῆμα ἓν διὰ δυοῖν ἀντὶ κόσμῳ τῆς στολῆς, ὡς παρ' Εὐριπίδ. ἐν Ἄλκήστ. «ἐσθῆτα κόσμον τε» καὶ ἐν 1050 «ἐσθῆτι καὶ κόσμῳ». Ἐν τοῖς χειρογράφοις ἀναγινώσκεται κατηύχετο, ἀλλ' ὁ* Meineke *ἔγραψε κατήρχετο, ὅπερ ἐκράτησε παρὰ τοῖς νεωτέροις ἐκδόταις. Ἐγένετο δὲ κατὰ τὸ Ὁμηρικὸν ἐν Ὀδυσσ. γ, 445 «χέρνιβά τ' οὐλυχύτας τε κατήρχετο».*

7) *Ἐνταῦθα ἔχει χρονικὴν σημασίαν. Ὁ Σχολιαστὴς ἐξηγεῖ· «Ὅτε δὲ ἀπὸ τῶν θυμάτων καὶ τῶν ξύλων ἡ φλὸξ ἀνεκαίετο, τότε ἱδρὼς ἀνῄει περὶ τὸ σῶμα αὐτοῦ». Ἡ ἀπὸ πρόθεσις ἐξυπακούεται ἐκ τῆς ἑπομένης προτάσεως.*

8) *Κατὰ τὸν Σχολιαστήν· «Αἱματηρά, ὅτι ἐκ τοῦ αἵματος τῶν ἱερείων*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἱδρὼς ἀνῄει χρωτί, καὶ προσπτύσσεται[1]
πλευραῖσιν, ἀρτίκολλος ὥστε τέκτονος[2],
χιτὼν ἅπαν κατ' ἄρθρον· ἦλθε δ' ὀστέων
ἀδαγμὸς[3] ἀντίσπαστος· εἶτα φοινίας
ἐχθρᾶς ἐχίδνης ἰὸς ὡς[4] ἐδαίνυτο.
Ἐνταῦθα δὴ ἐβόησε τὸν δυσδαίμονα
Λίχαν[5], τὸν οὐδὲν αἴτιον τοῦ σοῦ κακοῦ,
ποίαις ἐνέγκοι τόνδε μηχαναῖς[6] πέπλον·
ὃ δ' οὐδὲν εἰδὼς δύσμορος τὸ σὸν μόνης
δώρημ' ἔλεξεν[7], ὥσπερ ἦν ἐσταλμένον.
Κἀκεῖνος ὡς ἤκουσε καὶ διώδυνος[8]
σπαραγμὸς αὐτοῦ πλευμόνων ἀνθήψατο,

συνίσταται». Ἀλλ' ὁ Campe εὑρίσκων ἀνεπαρκῆ τὴν ἑρμηνείαν προτείνει, ἵνα γραφῇ μεταρσία φλόξ.

9) Ὁ μὲν Σχολιαστὴς ἐξηγεῖ "λιπαροῦ ξύλου· δρῦν γὰρ λέγει πᾶν δένδρον„, ὁ δὲ Hermann οὐχὶ ἀπιθάνως εἰκάζει, ὅτι εἶναι ἡ πεύκη.

1) Καὶ προσαρμόζεται εἰς τὰς πλευρὰς ὁ χιτὼν καθ' ὅλα τὰ μέλη, ὡς νεωστὶ προσκεκολλημένος ὑπὸ τέκτονος.

2) Ἡ γενικὴ αὕτη παρέχει μεγάλην δυσκολίαν τοῖς ἑρμηνευταῖς, ἐξ ὧν ἄλλοι μὲν ὑπονοοῦσι τὴν ἐξ ἧ πρός, ἄλλοι δ' ἐκ τοῦ ἀρτίκολλος ἐξάγουσι τὴν μετοχὴν κολλήσαντος, ὡς ἐν Αἴαντ. 998 "ὀξεῖα γάρ σου βάξις ὡς θεοῦ τινος διῆλθ' Ἀχαιοὺς πάντας ὡς οἴχει θανών„ ἔνθα κατὰ τὴν σημείωσίν μου ἐξυπακούεται τὸ βάζοντος.

3) Κατὰ τὸν Φώτιον 7, 21 "Ἀδαγμός. Ὀδαξησμός, ὅπερ ἐ σμός. Οὕτως Σοφοκλῆς„. Τ θετον ὁ Σχολιαστὴς ἐξηγε σπασμῷ, ἢ μετὰ σπασμοῦ » γοῦρα μετὰ σπασμοῦ ἐξικνε τῶν ὀστῶν.

4) Τὸ ὡς φαίνεται περιτι ὄντως ἦτο ἰὸς ἐχίδνης, ἀλλ' οὔτε ὁ Λίχας ἐγίνωσκε τοῦτο

5) Δηλαδὴ μετὰ βοῆς ἠρω Λίχαν.

6) Ἐνταῦθα σημαίνει πα πονηρίας. Ὁ Ἡρακλῆς ὑπέ ὁ Λίχας εἶναι ὁ αἴτιος τοῦ κ

7) Ἐκ τοῦ ἐνέγκοι ἐξυπ τὸ ἀπαρέμφατον ἐνεγκεῖν. λιαστὴς ἐξηγεῖ «ὡς ἀπέστα σοῦ· οἷον, οὐδὲν ἀφ' ἑαυτοῦ γήσας».

8) Καὶ ἐκεῖνος ἅμα ἤκουσε ὀδυνηρὸς σπαραγμὸς προσέβ πνεύμονας αὐτοῦ. Παραπλή

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μάρψας[1] ποδός νιν, ἄρθρον ᾗ λυγίζεται,
ῥίπτει πρὸς ἀμφίκλυστον[2] ἐκ πόντου πέτραν·
κόμης[3] δὲ λευκὸν μυελὸν ἐκραίνει, μέσου
κρατὸς διασπασθέντος[4] αἵματος θ' ὁμοῦ.
Ἅπας δ' ἀνευφήμησεν[5] οἰμωγῇ λεώς,

τὸ παρ' Ἀριστοφάν. ἐν Βατράχ. 474 «πλευμόνων τ' ἀνθάψεται Ταρτησία μύραινα».

[1]) Ὁ Σχολιαστὴς ἐξηγεῖ· «Δραξάμενος τοῦ ποδὸς τοῦ Λίχα κατ' ἐκεῖνο τὸ μέρος, ἔνθα δεσμεῖται τὸ ἄρθρον· λέγει δὲ τὸ περὶ τὸν ἀστράγαλον μέρος, ᾧ εἰώθαμεν δεσμεῖν ὑπόδημα, ἤ τι τοιοῦτο».

[2]) Κατὰ τὸν Σχολιαστήν· «Τὴν ἐκ τοῦ πόντου ἀμφοτέρωθεν κλυζομένην». Περὶ τὸ Κήναιον ὑπάρχουσι τρεῖς νησίδες, ἃς παραπλέων φαντάζομαι, ὅτι εἶναι ἄνθρωπος ἐξηρθρωμένος εἰς τρία, εἰς τὴν κεφαλήν, τὸ μέσον καὶ τοὺς πόδας. Περὶ τούτων ὁ Αἰσχύλος ἐν ἀποσπάσμ. 30 λέγει· "ἀμφὶ Κηναίου Διὸς ἀκτήν· κατ' αὐτὸν τύμβον ἀθλίου Λίχα„ καὶ ὁ Στράβ. ἐν IX, 426. «Ταῦτα δ' ἤδη τῶν Ἐπικνημιδίων ἐστὶ Λοκρῶν. Ἐνταῦθα καὶ αἱ Λιχάδες, καλούμεναι τρεῖς νῆσοι πρόκεινται ἀπὸ Λίχα τοὔνομα ἔχουσαι„. Ἰδὲ καὶ τὸν αὐτὸν ἐν *I*, 60.

[3]) Ἡ λέξις φαίνεται ὕποπτος τοῖς κριτικοῖς, ἐξ ὧν ὁ μὲν Bothe εἰκάζει κόρσης, ὁ δὲ H. Graff βολῇ, ὁ δὲ O. Hense κοπῇ καὶ ὁ S. Mekler κόγχης. Πᾶσα ὅμως διόρθωσις εἶναι τολμηρά, διότι καὶ ὁ Σχολιαστὴς καὶ ὁ Ἀθήναιος οὕτως ἀνέγνωσαν τὸ χωρίον. Ἀθήν. *II*, 66 *A* «Καὶ Σοφοκλέα γοῦν ἐν Τραχινίαις ποιήσαντα τὸν Ἡρακλέα ῥιπτοῦντα τὸν Λίχαν ἐς θάλασσαν οὐκ ὀνομάσαι ἐγκέφαλον, ἀλλὰ λευκὸν μυελόν, ἐκκλίνοντα τὸ μὴ ὀνομαζόμενον, κόμης δὲ λευκὸν κτλπ». Νομίζομεν, ὅτι τὸ χωρίον δὲν νοεῖ διότι ἀφ' οὗ διερράγη τὸ κρανίον, τὸν μυελὸν ἐρράντιζεν ἐκ τῆς κόμης. Ἡ γενικὴ ἀνήκει τὸ ἐκραίνει. Ὁ μυελὸς ἔπιπτεν εἰς τὴν κόμην, ἥτις ἐχρησίμευεν ὡς ῥαντιστήριον.

[4]) Οὕτως ἔχει ἡ παράδοσις, ἐν ᾧ ἄλλοι γράφουσι διαρραισθέντος. Μεγάλην δὲ δυσκολίαν παρέχει τοῖς κριτικοῖς ἡ ἑπομένη φράσις, ἐξ ὧν ὁ μὲν Schneidewin εἰκασεν αἱματορρύτου, ὁ δὲ H. Graff αἱματοσταγοῦς καὶ ὁ Wecklein αἱματοσταγῆ. Ἡμῖν αἱ διορθώσεις αὗται δὲν φαίνονται πιθαναί, εἰκάζομεν δ', ὅτι εἶναι ἀνακολουθία τῆς. Ὁ ποιητὴς ἔπρεπε νὰ εἴπῃ αἱμά θ' ὁμοῦ, ἀλλ' ἁρμοίωσε τὴν λέξιν πρὸς τὴν προηγουμένην γενικήν. Οὕτως, ὡς νομίζομεν, συνέταξε καὶ ὁ Σχολιαστὴς τὸ χωρίον· διότι ἐξηγεῖ «διαιρεθείσης τῆς κεφαλῆς, διὰ τῆς κόμης ἀνεπέμπετο ὁ ἐγκέφαλος σὺν τῷ αἵματι».

[5]) Τὰ χειρόγραφα ἔχουσιν ἀνευφώνησεν, ἀλλ' ὑπὸ τῶν κριτικῶν ἐτράπη, ὡς ἔχομεν ἐν τῷ κειμένῳ,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῦ μὲν νοσοῦντος, τοῦ δὲ διαπεπραγμένου[1]·
κοὐδεὶς ἐτόλμα τἀνδρὸς ἀντίον μολεῖν.
Ἐσπᾶτο γὰρ πέδονδε καὶ μετάρσιος[2],
βοῶν ἰύζων[3]· ἀμφὶ δ' ἐκτύπουν πέτραι,
Λοκρῶν τ' ὄρειοι πρῶνες[4] Εὐβοίας τ' ἄκρα.
Ἐπεὶ δ' ἀπεῖπε[5], πολλὰ μὲν τάλας χθονὶ
ῥίπτων ἑαυτόν, πολλὰ δ' οἰμωγῇ βοῶν,
τὸ δυσπάρευνον[6] λέκτρον ἐνδατούμενος

Πλάτ. ἐν Φαίδων. 60 *A* «ὡς οὖν εἶδεν ἡμᾶς ἡ Ξανθίππη, ἀνευφήμησέ τε καὶ τοιαῦτ' ἄττα εἶπεν, οἷα δὴ εἰώθασιν αἱ γυναῖκες „ καὶ *Αἰλιαν. ἐν Ποικίλ. ἱστορ.* 12, 1 "Ἡ Ἀσπασία... ἀνευφημήσασα δὲ θεοὺς ἑλληνικοὺς καὶ ἐλευθερίους τοὺς αὐτοὺς καὶ τὸ τοῦ πατρὸς ὄνομα ἐβόα „. Τὸ ῥῆμα ὁ μὲν Σουίδας ἐξηγεῖ διὰ τοῦ ἐθρήνησεν, ὁ δὲ Ἡσύχιος διὰ τοῦ ἀνώμοξεν.

[1]) *Κατὰ τὸν Σχολιαστήν·* "Τοῦ Ἡρακλέους νοσοῦντος, τοῦ δὲ Λίχα ἀνυσθέντος, ὅ ἐστι πεφονευμένου».

[2]) Ὁ Ἡρακλῆς ἐκ τῶν πόνων ὁτὲ μὲν μετὰ σπασμῶν ἔκειτο ἐπὶ τῆς γῆς, ὁτὲ δ' ἐπήδα πρὸς τὸν ἀέρα. Τῆς θέσεως ταύτης τοῦ Ἡρακλέους ὑπῆρχεν εἰκὼν ἐν Κορίνθῳ, ἀλλὰ κατὰ τὴν ὑπὸ τοῦ Μομμίου ἅλωσιν τῆς πόλεως οἱ Ῥωμαῖοι στρατιῶται ἐπὶ ταύτης ἔπαιζον πεσσούς. Τοῦτο εἶδεν ὁ ἱστορικὸς Πολύβιος, ὡς παραδίδει ὁ Στράβων ἐν VIII, 381 "Φησὶ γὰρ (ὁ Πολύβιος) ἰδεῖν παρὼν ἐρριμμένους πίνακας ἐπ' ἐδάφους, πεττεύοντας δὲ τοὺς στρατιώτας ἐπὶ τούτων. Ὀνομάζει δ' αὐτὴν Ἀριστείδου γραφὴν τοῦ Διονύσου — καὶ τὸν Ἡρακλέα τὸν καταπονούμενον τῷ τῆς Δηιανείρας χιτῶνι „.

[3]) *Φωνάζων δυνατά.* Ἰύζει ὁ φωνάζων ἰή, ἰού, ἰώ.

[4]) *Πρῶνες* εἶναι τὰ ὑψώματα, αἱ ἐξοχαὶ ὀρέων, Ἰλιάδ. Θ, 557 "ἔκ τ' ἔφανεν πᾶσαι σκοπιαὶ καὶ πρώονες ἄκροι „ ὅπου ἰδὲ τὴν σημείωσίν μου. Ἐκ τοῦ Κηναίου τῆς Εὐβοίας δὲν ἦτο δυνατὸν νὰ ἀντηχῶσι τὰ ὄρη τῶν Λοκρῶν, ἀλλ' εἶναι ὑπερβολὴ συνήθης τοιαύταις περιγραφαῖς.

[5]) Ὁ Σχολιαστὴς ἐξηγεῖ· «Ἀπέκαμεν, ἀπηγόρευσεν ἑαυτόν, ὑπερκέκμηκεν, ἀπείρηκεν πρὸς τὰς ὀδύνας ἐπὶ γῆς κυλιόμενος „. Τὸ πολλὰ μὲν— πολλὰ δὲ ἐν τῇ ῥητορικῇ ὀνομάζεται ἀναφορά, ὡς ἐν Ἡλέκτρ. 88 "πολλὰς μὲν θρήνων ᾠδάς, πολλὰς δ' ἀντήρεις στέρνων πληγάς „.

[6]) Καταρώμενος τὸν ἐπὶ κακῷ γενόμενον γάμον. Ἡ φράσις περιέχει πλεονασμὸν ὡς τὸ εὐάμερον φῶς. Ὁ Σχολιαστὴς παρατηρεῖ· «Ἐνδατούμενος νῦν σφόδρα κακῶς λέγων, δυσφημῶν, συνεχῶς μεμφόμενος, ἐπαρώμενος».

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σοῦ τῆς ταλαίνης καὶ τὸν Οἰνέως γάμον[1],
οἷον κατακτήσαιτο λυμαντὴν βίου,
τότ' ἐκ προσέδρου λιγνύος[2] διάστροφον
ὀφθαλμὸν ἄρας εἶδέ μ' ἐν πολλῷ στρατῷ
δακρυρροοῦντα, καί με προσβλέψας καλεῖ·
ὦ παῖ, πρόσελθε, μὴ φύγῃς τοὐμὸν κακόν,
μηδ'[3] εἴ σε χρὴ θανόντι συνθανεῖν ἐμοί·
ἀλλ' ἄρον ἔξω, καὶ μάλιστα μέν με θὲς
ἐνταῦθ' ὅπου με μή τις ὄψεται[4] βροτῶν·
εἰ δ' οἶκτον[5] ἴσχεις, ἀλλὰ μ' ἔκ γε τῆσδε γῆς
πόρθμευσον ὡς τάχιστα, μηδ' αὐτοῦ[6] θάνω.
Τοσαῦτ' ἐπισκήψαντος[7], ἐν μέσῳ σκάφει

1) Ὁ Nauck νομίζει, ὅτι ἢ ὁλόστιχος ὁ στίχος ἢ ἓν μέρος τούτου ἀκενάοθη· διότι γάμος Οἰνέως δύναται νὰ σημαίνῃ τὴν κηδεστείαν, ἀπαιτεῖ ἐνταῦθα τὸ χωρίον. ἀλλ' ἐν τῇ καθ' ἡμᾶς γλώσσῃ ὁ γάμος ἔχει τοιαύτην σημασίαν καὶ τὸ ὄνος παρὰ Θουκυδίδ. II, 29 «εἰς δὲ καὶ τὸ κῆδος Πανδίονα ξυναοθαι τῆς θυγατρὸς διὰ τοσούτου ὠφελίᾳ τῇ πρὸς ἀλλήλους».

2) Κατὰ τὸν Σχολιαστήν· «Ὅτε ἐκαμεν κυλιόμενος, τότε ἀνατείνας ν ὀφθαλμὸν διὰ τῆς κεχυμένης ὸ σώματος λιγνύος, εἶδέν με δαρροοῦντα. Λιγνύος δέ, ἢ τῆς παειμένης ἀναθυμιάσεως καὶ καοῦ ἢ τῆς παρακειμένης καὶ περιχυμένης αὐτὸν φλογώδους νόσου». ν τῶν δύο ἐξηγήσεων ἡ πρώτη εἶπιθανωτέρα. Διάστροφον ὄμμα αι ὁ διαστραμμένος ὀφθαλμός, ὡς τοῦ πάσχοντος ἐν Αἴαντ. 447 κεἰ μὴ τόδ' ὄμμα καὶ φρένες διάστροφοι γνώμης ἀπῆξαν».

3) Ὁ ἐν τῷ μηδὲ ὑπάρχων καὶ εἶναι ἐπιδοτικός.

4) Τὸ μὴ φέρεται πρὸς μέλλοντα τῆς ὁριστικῆς, ὡς ἐν Οἰδίποδι τυράννῳ 1412 «ἐκρίψατ' ἔνθα μήποτ' εἰσόψεσθ' ἔτι».

5) Λέγει τοῦτο, διότι ὁ Ὕλλος ἠδύνατο ἴσως νὰ εὐσπλαγχνισθῇ τὸν πατέρα καὶ μὴ ἀγάγῃ αὐτὸν εἰς ἐρημίαν.

6) Ὁ Σχολιαστὴς εἰκάζει, ὅτι ὁ Ἡρακλῆς αἰσχύνεται νὰ ἀποθάνῃ ἐνταῦθα φοβούμενος, μὴ ἐγγελασθῇ ὑπὸ τῶν Οἰχαλίων.

7) Ἐπὶ γενικῆς ἀπολύτου παρέλειψε τὸ ὑποκείμενον, ὅπερ ἐνίοτε συμβαίνει παρὰ τοῖς ἀρχαίοις, ὡς ἐν Οἰδιποδ. τυράνν. 629 «οὗτοι κακῶς γ' ἄρχοντος» καὶ ἐν Οἰδίποδι ἐπὶ Κολων. 590 «Ἀλλ' οὐ θελόντων γ' οὐδὲ σοὶ φεύγειν καλόν». Σημειωτέον, ὅτι ἔπρεπε

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θέντες σφε πρὸς γῆν τήνδ' ἐκέλσαμεν μόλις[1]
βρυχώμενον σπασμοῖσι· καί νιν αὐτίκα
ἢ ζῶντ'[2] *ἐσόψεσθ' ἢ τεθνηκότ' ἀρτίως.*
Τοιαῦτα, μῆτερ, πατρὶ βουλεύσασ'[3] *ἐμῷ*
καὶ δρῶσ'[4] *ἐλήφθης, ὧν σὲ ποίνιμος Δίκη*
τείσαιτ'[5] *Ἐρινύς τ'. Εἰ θέμις*[6] *δ', ἐπεύχομαι·*
θέμις[7] *δ', ἐπεί μοι τὴν θέμιν σὺ προύβαλες*[8],

νὰ θέσῃ αἰτιατικὴν κατὰ τὸ σφέ. Ἀλλὰ τοιαῦται ἀνωμαλίαι ὑπάρχουσι πολλαὶ παρὰ τοῖς ἀρχαίοις, ὡς παρὰ Ξενοφῶντι ἐν Κύρ. ἀναβάσ. II, 4, 24 "διαβαινόντων μέντοι (τὴν γέφυραν) ὁ Γλοῦς αὐτοῖς ἐπεφάνη μετ' ἄλλων„ καὶ ἐν Ἀπομν. IV, 8, 5 "ἤδη μου ἐπιχειροῦντος φροντίσαι τῆς πρὸς τοὺς δικαστὰς ἀπολογίας ἠναντιώθη τὸ δαιμόνιον» δηλ. ἐμοί. Ἔθεντο ἐν τῷ μέσῳ τοῦ σκάφους, ἵνα ὁ πάσχων ἥκιστα αἰσθάνηται τὸν σάλον.

1) Ὁ Hartung τιθεὶς κόμμα μετὰ τὴν λέξιν ταύτην συνδέει τῷ ἐκέλσαμεν. Ἡμεῖς προτιμῶμεν νὰ συνδέσωμεν τῷ βρυχώμενον· μόλις βρυχώμενον διὰ τοὺς σπασμούς. Τοῦτο δηλοῖ ἰὴν ἐξάντλησιν τοῦ πάσχοντος.

2) Ὑπὸ μὲν τοῦ Meineke τρέπεται εἰς ἢ ζῶντ' ἔτ' ὄψεσθ', ὑπὸ δὲ τοῦ Nauck εἰς θνησκοντ' ἐσόψεσθ'. Ἀλλὰ τὸ χωρίον δὲν ἔχει ἀνάγκην διορθώσεως.

3) Ὁ Ὕλλος νομίζει, ὅτι ἡ μήτηρ ἐβουλεύσατο τὸν φόνον, ἐν ᾧ τὸ βούλευμα ἀνήκει τῷ Νέσσῳ.

4) Τὸ βουλεύειν καὶ δρᾶν εἶναι φράσεις ἀνήκουσαι τῇ δικαστικῇ γλώσσῃ, ἐν Ἀντιγόν. 267 «μήτε τῷ ξυνειδέναι τὸ πραῦγμα βουλεύσ μηδ' εἰργασμένῳ„. Ὁ Σχολια τὸ ἑπόμενον ἐπίθετον ἐξηγεῖ τιμωρός, ἡ ποινὴν ἀπαιτοῦσα„ ραπλήσιον εἶναι τὸ ἐν Αἴαντ. "μνήμων τ' Ἐρινὺς καὶ τέλε ρος Δίκη».

5) Οἱ νεώτεροι ἐκδόται γράφ τείσαιτο, διότι οὕτω τὸ ῥῆμα ἀν νώσκεται ἐν ταῖς ἐπιγραφαῖς

6) Ἐὰν δ' ἦναι ἐπιτετραμμέ εὔχομαι νὰ τιμωρηθῇς. Ἡ ἐπιφ ξις αὕτη ὑπάρχει, διότι ἡ ἀρα ται κατὰ τῆς μητρός. Κατὰ παρα σιον τρόπον λέγει ὁ χορὸς κατὰ ἀρχόντων ἐν Ἠλέκτρ. 128 "Δ τάδε πορὼν ὅλοιτ', εἴ μοι θέμις αὐδᾶν„.

7) Ἡ φρήσις εἶναι συνήθης ἀρχαίοις, ὡς ἐν ἀποσπάσμ. 855 μοι θέμις δὲ ταληθῆ λέγειν„ κα Φίλων. τῷ Ἰουδ II, 155 "εἰ θέ εἰπεῖν, θέμις δὲ ψευδεῖς„. διάφορον εἶναι τὸ παρὰ Μενάνδρ 144 "εἰ θεὸν καλεῖν σε δεῖ· δεῖ δέ κρατοῦν γὰρ πᾶν νομίζεται θε καὶ ἐν Φιλοκτήτ. 1036 «ἀλεῖνόν ἠδικηκότες τὸν ἄνδρα τόνδε, θεο εἰ δίκης μέλει." Ἐξοιδα δ' ὡς μέλει

8) Τοῖς κριτικοῖς φαίνεται

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πάντων ἄριστον ἄνδρα τῶν ἐπὶ χθονὶ
κτείνασ', ὁποῖον ἄλλον οὐκ ὄψει ποτέ.

ΧΟΡΟΣ.

Τί σῖγ' ἀφέρπεις[1]*; οὐ κάτοισθ' ὅθούνεκα*
ξυνηγορεῖς[2] *σιγῶσα τῷ κατηγόρῳ;*

ΥΛΛΟΣ.

Ἔατ' ἀφέρπειν· οὖρος[3] *ἕρπούσῃ καλὸς* 815
αὐτῇ γένοιτ' ἄπωθεν ὀφθαλμῶν ἐμῶν.
Ὄγκον γὰρ ἄλλως[4] *ὀνόματος τί δεῖ τρέφειν*
μητρῷον, ἥτις μηδὲν ὡς τεκοῦσα δρᾷ;
Ἀλλ' ἑρπέτω χαίρουσα[5]*· τὴν δὲ τέρψιν ἣν*

κ ἡ λέξις, ἀλλὰ δύναται νὰ ἐξηγῇ κατὰ τὸν Σχολιαστήν· « *Θέ*δέ ἐστιν ἡμᾶς καταρᾶσθαί σοι, σὺ πρότερα τήν θέμιν ἀπέρρικαὶ παρεῖδες „

) Ἡ ἡρωΐς ἀπέρχεται σιωπηλή, ὅαὐτοκτονήσῃ, ὡς προεῖπεν ἐν στίχ. . Ὁ χορὸς ὅμως δὲν ἀποβλέπει αὐτοκτονίαν, διότι ἐπελάθετο, ὡς νεται, τοῦ λόγου ἐκείνου. Σιωὴ ἐξῆλθε τῆς σκηνῆς καὶ ἡ Ἰοτη ἐν Οἰδ. τυράνν. 1075, ἀλλ' ὁ ὡς ἐκ τῆς σιωπῆς εἴκασε κακόν τι· δοιχ' ὅπως μὴ ἐκ τῆς σιωπῆς δ' ἀναρρήξει κακά „. Παράβαλλ. Ἀντιγόν. ἐν στίχ. 1244.

Τὴν σιωπὴν ὁ χορὸς θεωρεῖ ὡς ηγορίαν. Παραπλήσιον εἶναι τὸ ἐν ετ. 1592 « φησὶν σιωπῶν » καὶ φιγεν. ἐν Αὐλίδ. 1142 " αὐτὸ ὸ σιγᾶν ὁμολογοῦντός ἐστί σου.

Τοῦτο δ' Ὕλλος λέγει μετὰ πιως, ὡς καὶ ἡμεῖς οἱ νεώτεροι ἐν ὁμοίᾳ περιστάσει λέγομεν κ α λ ὸ ν κ α τ ε υ ό δ ι ο ν. Κατὰ τὸν Σχολιαστήν· « Εἴθε οὖρος καλὸς ἐπιπνεῦσαι αὐτῇ ἀπιούσῃ, ἵνα μηκέτι αὐτὴν ἴδοιμι. Τροπικῶς δὲ τὸ οὖρος, ὡς ἐπὶ νεώς, ἀντὶ τοῦ, οὐριοδρομείτω ».

[4]) Ἐνταῦθα σημαίνει μάτην, ὡς ἐξηγεῖ ὁ Σχολιαστής· « Τί γὰρ μάτην ἐπαιρόμεθα τῷ τῆς μητρὸς ὀνόματι, οὐδὲν ἄξιον αὐτῆς διαπραξαμένης, ὧν ἡ φύσις καὶ ὁ θεσμὸς ἀπῄτει ». Μετὰ τὴν δηλητηρίασιν τοῦ πατρὸς ὁ Ὕλλος δὲν ἀναγνωρίζει τὴν Δηϊάνειραν ὡς μητέρα. Παραπλήσιον λέγει ἡ Ἠλέκτρα περὶ τῆς Κλυταιμνήστρας παρὰ Σοφοκλεῖ ἐν Ἠλέκτρ. 1194 « μήτηρ καλεῖται, μητρὶ δ' οὐδὲν ἐξισοῖ ». Τὸ τρέφειν ἐνταῦθα κεῖται ἐν τῇ σημασίᾳ τοῦ ἔχειν, ὡς ἐν στίχ. 28.

[5]) Ὅτι τοῦτο λέγει μετὰ πικρᾶς εἰρωνείας, γίνεται δῆλον ἐκ τῆς ἑπομένης φράσεως.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῷμῷ δίδωσι[1] πατρί, τήνδ' αὐτὴ λάβοι.

ΣΤΑΣΙΜΟΝ Δ'.

ΧΟΡΟΣ.

Στροφὴ α'

Ἴδ'[2] οἷον, ὦ παῖδες, προσέμιξεν ἄφαρ
τοὔπος τὸ θεοπρόπον ἡμῖν
τᾶς παλαιφάτου[3] προνοίας,
ὅ[4] τ' ἔλακεν, ὁπότε τελεόμηνος ἐκφέροι[5]

[1]) *Μετεχειρίσθη ἐνεστῶτα, διότι ἡ ἐνέργεια τοῦ δώρου ἐξακολουθεῖ. Ἦ ἀρὰ τοῦ Ὕλλου ἐξεπληρώθη.*

[2]) *Τοῦτο λέγουσι τὰ μέλη τοῦ χοροῦ πρὸς ἄλληλα, ὡς παρατηρεῖ ὁ Σχολιαστής· "Ὁ χορὸς πρὸς ἀλλήλας διαλέγεται περὶ τοῦ δεδομένου μαντείου τῷ Ἡρακλεῖ ἐν τῇ Δωδώνῃ, ὅτι νῦν ἀπέβη. Τὸ δὲ οἷον ἀντὶ τοῦ οἵως Οἷον, Ὁρᾶτε, ὦ φίλαι, οἵως ἡμῖν ἀθρόως συνέπεσε καὶ εἰς οἷον κακὸν ἀπέβη τὸ ἔπος ἐκ τῆς μαντείας πάλαι χρησθέν. Προσέμιξε δὲ ἀντὶ τοῦ προσερράγη ὀξέως „. Τὸ ἰδὲ θέτουσιν οἱ ἀρχαῖοι ἐν ἐπιφωνήσεσιν, ὡς οἱ Ῥωμαῖοι τὸ ecce Καὶ ἡμεῖς οἱ νεώτεροι λέγομεν, Ἴδετε παιδιά. Εἶναι ὅλως φυσικόν, ὅτι ὁ χορὸς ἀπεῖδεν εἰς τὴν ἐκπλήρωσιν τοῦ χρησμοῦ τοῦ ἐν Δωδώνῃ θεοῦ. Τὸ προσέμιξεν κείμενον ἀμεταβάτως δύναται νὰ ἐξηγηθῇ διὰ τοῦ προσῆλθεν. Ἀλλ' ὁ O. Hense εἰκάζει προσέλαμψεν, ὅπερ λέγεται ἐπὶ χρησμοῦ ἐν Οἰδίποδι τυράννῳ 473.*

[3]) *Ὁ Σχολιαστὴς ἀνέγνω Παλαιφοίβου, ὅπερ ὁ Hartung ἀνέλυσεν εἰς πάλαι Φοίβου. Τὸ προ κροῦ χρόνου χρησθὲν ὀνομάζει π νοιαν, ὡς λόγον τῆς προνοίας θεοῦ.*

[4]) *Κακῶς μὲν ὁ Hartung ἔ ψεν ἐν μιᾷ λέξει ὅτ'. λίαν δὲ π νῶς ὁ Blaydes εἴκασεν ὅγ'. Κ τὸν Σχολιαστήν· «Ὅπερ ἐφθέγ ἐπειδὰν ἐνιαυτὸς παρέλθοι, τότε δοχὴν γενέσθαι τῶν πόνων τῷ ρακλεῖ, τῷ Διὸς παιδί. Ἀναδ δέ, ἀνάπαυσιν, ἀνακωχήν, ἀν χήν». Οὕτως τοιαύτην ἔννοιαν ριεμένομεν ἐνταῦθα, ἀλλ' ἡ τελεόμενος δὲν παρέχει τ την· διότι δηλοῖ τὸ ἔτος τὸ ἐκ ἑαυτοῦ μηνῶν τετελεσμένον καὶ ἡ ὅλη φράσις σημαίνει δώδεκα π ἔτη, ὅπερ εὑρίσκεται ἐν ἀντιφ πρὸς τὸ εἰρημένον ἐν στίχ. 164, Ἡρακλεῖ ὅμως τὸ ἐν Δελφοῖς τεῖον εἶχε δώσει καὶ ἄλλων χρη παρ' Ἀπολλοδώρ. II, 4, 12 «κ κεῖν αὐτὸν ἐν Τίρυνθι Εὐρυσθ τρεύοντα ἔτη δώδεκα καὶ τοὺς τασσομένους ἄθλους δώδεκα ἐ λεῖν, καὶ οὕτω τῶν ἄθλων συν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δωδέκατος ἄροτος[1], ἀναδοχὰν τελεῖν πόνων
τῷ Διὸς αὐτόπαιδι[2]· καὶ τάδ' ὀρθῶς
ἔμπεδα κατουρίζει[3].
Πῶς γὰρ[4] ἂν ὁ μὴ λεύσσων
ἔτι ποτ' ἔτ' ἐπίπονον ἔχοι[5] θανὼν λατρείαν;

ντων ἀθάνατον αὐτὸν ἔσεσθαι » Διόδωρ. Σικελ. IV, 10, 7 « Ἡρακλῆς δὲ παρελθὼν εἰς Δελφοὺς περὶ τούτων ἐπερωτήσας τὸν θεόν, ἔλαβε χρησμὸν τὸν δηλοῦντα ὅτι τοῖς θεοῖς δέδοκται δώδεκα ἄθλους τελέσαι προστάττοντος Εὐρυσθέως, καὶ τοῦτο πράξαντα τεύξεσθαι τῆς ἀθανασίας ». Ἀλλ' οἱ κριτικοὶ παρατηροῦσιν, ὅτι ἐνταῦθα κατὰ τὴν ὑπόθεσιν τοῦ δράματος δὲν δύναται νὰ ἐννοῆται ὁ χρησμὸς τοῦ ἐν Δελφοῖς μαντείου. Διὰ τοῦτο ὁ Wecklein εἴκασεν ὅπότε τελεσθέντων ἐκφέροι δωδέκατον ἄροτον, ἔνθα τὸ τελεσθέντων δωδέκατον εἶναι ὑποκείμενον. Ἡ διόρθωσις ἐγένετο μετά τινος εὐφυΐας, ἀλλ' οἱ κριτικοὶ δὲν ἐδέξαντο αὐτήν. Ἄξιον σημειώσεως εἶναι, ὅτι τὸ ἔλακεν ὑποκείμενον ἔχει τὸ ἀκόλουθον ἔπος, ἀλλὰ λέγεται ἐνίοτε ὁ χρησμὸς λέγει καὶ τὰ γράμματα φάσκει.

[3]) Τὸ ῥῆμα κεῖται ἀμεταβάτως. Ἀλλ' ὁ F. W. Schmidt προσκρούων εἰς τοῦτο καὶ εἰς τὸν χρόνον τοῦ ῥήματος εἰκάζει μετὰ τόλμης ἐκφέροι.

[4]) Κατὰ τὸν Σχολιαστήν· « Καὶ ὅτος ὁ ἐνιαυτός, ἀπὸ τοῦ ἅπαξ ἐνιαυτὸν ἀροῦν ». Τὸ ἀναδοχὰν ὁ Meinecke ἔτρεψεν εἰς ἀναπνοάν, ὅπερ ἐδέξατο καὶ ὁ Nauck. Ὑποκείμενον τοῦ τελεῖν (μέλλων) εἶναι ὁ ἄροτος.

[2]) Τῷ γνησίῳ παιδί.

[3]) Ὑποκείμενον ἔχει τὸ ἄροτον. Τὸ δὲ ἔμπεδα κεῖται κατηγορηματικῶς. Συνήθως οἱ τραγικοὶ μεταχειρίζονται τὸ ῥῆμα μετά τινος εἰρωνείας. Κατὰ τὸν Σχολιαστήν· " Ταῦτα δὲ τὰ χρησθέντα ἀσφαλῶς νῦν ἡμῖν ἀποβαίνει. Τροπικῶς δὲ κατουρίζει, ὥσπερ οὐρίῳ πνεύματι προσορμίζει ἡμῖν κατ' ὀρθὸν ἀνυόμενα ".

[4]) Αἰτιολογεῖ τὸ ἀναδοχὰν τελεῖν. Αἰτία τοῦ μὴ βλέπειν εἶναι ὁ θάνατος. Κατὰ τὸν Σχολιαστήν· " Πῶς γὰρ ὁ μηκέτι ὁρῶν τὸ φῶς παρὰ Εὐρυσθέως κελεύοιτο; ».

[5]) Τὸ χωρίον ὑπὸ τῶν κριτικῶν θεωρεῖται διεφθαρμένον καὶ πολλαὶ διορθώσεις ἐγένοντο, ἀλλ' οὐδεμία ἐπιδοκιμάζεται. Λατρείαν ἔχειν = λατρεύειν. Ἐξήγησις· Ἰδέτε, ὦ παῖδες, πῶς ταχέως προσῆλθε τὸ μάντευμα τὸ πρὸ πολλοῦ ὑπὸ τῆς προνοίας χρησθέν, ὅτε εἶπεν, ὁπόταν παρέλθῃ ὁ συντετελεσμένος δωδέκατος ἐνιαυτός, θὰ ποιήσῃ ἀνάπαυσιν τῶν πόνων εἰς τὸν γνήσιον υἱὸν τοῦ Διός· καὶ ταῦτα ὅλως ἀσφαλῶς ἐκτελεῖ· διότι πῶς ὁ μὴ βλέπων τὸ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀντιστροφὴ α'.

Εἰ γάρ[1] *σφε Κενταύρου φονίᾳ νεφέλᾳ*[2]
χρίει δολοποιὸς[3] *ἀνάγκα*
πλευρά[4]*, προστακέντος ἰοῦ,*
ὃν ἔτεκε θάνατος, ἔτρεφε δ' αἰόλος δράκων[5]*,*
πῶς ὅδ' ἂν ἀέλιον[6] *ἕτερον ἢ τὰ νῦν ἴδοι,*
δεινοτάτῳ μὲν ὕδρας[7] *προστετακὼς*

φῶς ἀκόμη τέλος πάντων δύναται νὰ ἔχῃ ἐπίπονον ὑπηρεσίαν ;

1) *Ἐν τῇ ἀντιστροφῇ ὁ χορὸς αἰτιολογεῖ τὸ θανών. Ἡ σύνταξις ἔχει οὕτωσίν· εἰ γὰρ δολοποιὸς ἀνάγκα Κενταύρου χρίει σφε πλευρὰ φοινία νεφέλα. Κατὰ τὸν Σχολιαστήν· "Εἰ γὰρ αὐτὸν τὸν Ἡρακλέα τὸ αἷμα τὸ θανάσιμον τοῦ Κενταύρου περιέχει, πλευρᾷ προστακέντος ἰοῦ, πῶς ἂν ἕτερον ἥλιον ἢ τὰ νῦν ἴδοι ;„.*

2) *Ὁ μὲν Σχολιαστὴς ἐξηγεῖ· « Τὸ αἷμα τὸ θανάσιμον » ὁ δὲ* Nauck *τὴν περικάλυψιν τοῦ πέπλου, ὅστις περιβάλλει τὸν Ἡρακλέα, ἡ νεφέλη ἡ ἀφαιροῦσα τὸ φῶς. Πρὸς τὴν δευτέραν ἑρμηνείαν ἀντίκειται τὸ χρίει, ἀλλ' ὁ ἑρμηνευτὴς ἐξηγεῖ διὰ τοῦ ἅπτεται, ὡς παρ' Αἰσχύλ. ἐν Προμηθ.* 566 *« χρίει τις αὖ με τὰν τάλαιναν οἶστρος „.*

3) *Ζητεῖται, τίνι ἀνήκει ὁ δόλος. Κατὰ μὲν τὸν Σχολιαστὴν τῇ Δηιανείρᾳ· « Χρίει δὲ τὸ ἱμάτιον τῷ αἵματι ἢ ἀνάγκη τῆς Δηιανείρας, ἣ μετὰ δόλου τεχνησαμένη· ἠνάγκασται γὰρ ὑπὸ ζήλου . . δόλῳ τοῦτο τεχνήσασθαι „, κατὰ δὲ τὸν* Nauck *τῷ Νέσσῳ. Λέγει δὲ τὴν ἀνάγκην δολ[ο]ποιόν, διότι ὁ Ἡρακλῆς δὲν δύνα[τ]αι νὰ ἀμυνθῇ, καθ' ὅσον τὸ δηλητήρ[ι]ον φονεύει, οὗ ἂν θίγῃ. Νομίζομεν, [ὅ]πιθανωτέρα εἶναι ἡ ἑρμηνεία τ[οῦ] Σχολιαστοῦ.*

4) *Τὸ χρίει συνετάχθη πρὸς [τὸ] αἰτιατικάς (σφε - πλευράς), [ἀ]εἶναι σχῆμα καθ' ὅλον καὶ μέ[ρ]ος. Ὅτι τὸ δηλητήριον προσέβαλε πλευρά, εἶπεν ὁ ποιητὴς ἐν στίχ. 7[70]. Εἰς τὴν ἑπομένην μετοχὴν ἐξυ[πα]κούεται ἡ δοτικὴ αὐτῷ.*

5) *Οὐχὶ πολὺ διάφορον εἶναι [τ]ὸν ἐν Αἴαντ.* 1034 *" Ἆρ' οὖν Ἔρ[ις] τοῦτ' ἐχάλκευσεν ξίφος κἀκεῖ[νο] Ἅιδης, δημιουργὸς ἄγριος ; „.*

6) *Διὰ μετρικὸν λόγον οἱ κριτ[αὶ] θεωροῦσιν ὕποπτον τὴν λέξιν κα[ὶ] O. Hense εἰκάζει πῶς ὅδ' ἂν [ἄ]ροτον ἕτερον. Ἐνταῦθα [δ]πρόκειται περὶ ἐνιαυτοῦ, ἀλλὰ [π]ἡμέρας. Ἡ ἑπομένη φράσις εἰ[ς] ἀντὶ τῆς· ἢ ὃν τὰ νῦν ὁρᾷ.*

7) *Ἐπειδὴ ἡ λέξις παρέχει με[γ]ὴν δυσκολίαν, ὁ* Hermann *ἔγρα[ψ]ε ἄρθρα, ὅπερ καὶ ὑπὸ ἄλλων [ἐ]δοκιμάζεται.*

φάσματι[1]*; μελαγχαίτα*[2] *τ'*
ἄμμιγά[3] *νιν αἰκίζει*
φόνια δολιόμυθα[4] *κέντρ' ἐπιζέσαντα.* 840

[1]) *Ὁ Σχολιαστὴς ἐξηγεῖ· « Προσ[κ]ολλημένος τῷ ἱῷ· ἢ τῷ ὀλεθρίῳ [ἀ]πὸ τὸ πεφονεῦσθαι φάσματι, τουτ[έ]στι, τῷ ἱματίῳ τῷ κεχρισμένῳ τῷ [αἵ]ματι τῆς ὕδρας, τουτέστι τῇ [ἐ]χίδνῃ „. Ἀλλ' ἡ λέξις φάσμα παρέ[χ]ει δυσκολίαν τοῖς ἑρμηνευταῖς, ἐξ [ὧ]ν ἔνιοι ἀπεῖδον εἰς τὸ εἴδωλον τῆς [Ἐ]χίδνης, ἥτις ἐκδικεῖται τοὺς φονεῖς [τ]ῆς, ὡς οἱ φονευθέντες εἰς τοὺς [φ]ονεῖς αὐτῶν καθ' ὕπνον ὡς μορ[φ]ώματα ἐμφανίζονται. Ἀλλ' ἡ τοι[αὐ]τὴ ἑρμηνεία εἶναι ὅλως αὐθαίρε[τ]ος, διότι αἱ ὀλέθριαι ἐνέργειαι τοῦ [ἐ]χιδνηριασθέντος χιτῶνος δὲν δύ[ν]αται νὰ παραβληθῶσι πρὸς τὰς ἀ[π]ὸ τοῦ εἰδώλου. Διὰ τοῦτο οἱ κριτ[αὶ] ἐπενόησαν παντοίας διορθώσεις [τ]οῦ μὲν* Fröhlich *εἰκάζει σπά[σ]ματι, ὁ δὲ* Hermann *ῥάσματι, [ὁ] Wunder νάματι, ὁ δὲ* M. [S]chmidt *νήματι καὶ ἄλλοι ἄλλως. [Ἀ]λλὰ αἱ διορθώσεις ἀποτυγχάνου[σι]· ἡμεῖς τολμῶμεν ἑρμηνείαν τινά, [τ]ὴν ὁποίαν ἐθερμόσαμεν καὶ ἐν δυσὶ χωρίοις [τ]οῦ Φιλοκτήτου ἐν στίχ.* 697 *καὶ [7]07, ὅπου ἰδὲ τὰς σημειώσεις μου. [Λ]έγεται, ὅτι ὁ ποιητὴς λέγων φάσμα [ἐ]ννοεῖ τὸ εἴδωλον τοῦ ὄφεως, ὅπερ [ἐ]κτυποῦται, ἢ τοὐλάχιστον πιστεύε[τ]αι ὅτι ἀποτυποῦται ἐπὶ τοῦ σώμα[τ]ος τοῦ δηχθέντος. Ἐκ τοῦ σχήματ[ο]ς τούτου οἱ ἐμπειρικοὶ ἰατροὶ ἀνα[γ]νωρίζουσι τὸ εἶδος, εἰς ὃ ἀνήκει ὁ [δ]ῆγμα ὄφις. Οὕτω δυνάμεθα νὰ ἐ[ξ]ηγήσωμεν καὶ τὸ ἔνθηρος πούς καὶ τὸ αἰόλα σὰρξ ἐν τοῖς μνημονευθεῖσι χωρίοις τοῦ Φιλοκτήτου.*

2) *Μαλαγχαίτης εἶναι ὁ Κένταυρος, ὃν δὲν ὀνομάζει· διότι τοῦτο ἐγένετο ἐν ἀρχῇ τῆς ἀντιστροφῆς. Παραπλήσιον εἶναι τὸ παρ' Ἡσιόδ. ἐν Ἀσπίδ. Ἡρακλ.* 186 *" μελαγχαίτην τε Μίμαντα „.*

3) *Εἶναι ἐπίρρημα, ἀνάμικτα. Κατὰ τὸν Σχολιαστήν· « καὶ ἅμα τῷ φάσματι τῆς ὕδρας, καὶ τὰ κέντρα τοῦ Νέσσου αἰκίζει αὐτόν ».*

4) *Κατὰ δύο τρόπους ἐξηγεῖ ὁ Σχολιαστής· « Ὅτι τοῖς δολίοις τοῦ Νέσσου λόγοις ἀπατηθεῖσα τετόλμηκεν . . . Τὰ δόλια φάρμακα· καὶ γὰρ ἕτερά τινα ἐκέλευσεν αὐτῇ συμμῖξαι τῷ αἵματι, ὡς ὀπίσω εἶπεν ». Ἀντὶ τοῦ κέντρα ὁ* Blaydes *εἰκάζει θέλκτρα ἢ φίλτρα. Τὸ ἐπιζέσαντα εἶπε κατὰ μεταφορὰν ἐκ τῆς φλογός, ὡς ἐν Ἰφιγεν. ἐν Ταύρ.* 987 *" δεινή τις ὀργὴ δαιμόνων ἐπέζεσεν » καὶ ἐν Ἑκάβ.* 583 *" δεινόν τι πῆμα Πριαμίδαις ἐπέζεσεν „. Οὐχὶ δ' ἀφυῶς ὁ Σχολιαστὴς παρατηρεῖ· « ἀνακαχλάσαντα ἐκ τῆς θέρμης τοῦ πυρός „. Ἐξήγησις· Διότι ἐὰν διὰ τοῦ φονικοῦ χιτῶνος τοῦ Κενταύρου ἡ μετὰ δόλου ἐπινοήσασα ἀνάγκη ἐγγίζῃ τὰ πλευρὰ αὐτοῦ, προσχυθέντος δηλητηρίου εἰς αὐτόν, τὸ ὁποῖον ἐγέννησεν ὁ θάνατος, ἀνέτρεφε δὲ ὁ εὔστροφος ὄφις, πῶς οὗτος ἄλλην*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Στροφὴ β'.

Ὧν[1] ἆδ' ἁ τλάμων ἄοκνος,
μεγάλαν προορῶσα[2] δόμοις βλάβαν
νέων ἀΐσσουσαν[3] γάμων, τὰ μὲν οὔ τι
προσέβαλεν[4], τὰ δ' ἀπ' ἀλλόθρου[5]
γνώμας μολόντ', ὀλεθρίαις ξυναλλαγαῖς[6],
ἦ που[7] ὁλοὰ στένει,
ἦ που ἀδινῶν χλωρὰν

ἡμέραν ἢ τὴν σημερινὴν δύναται νὰ ἴδῃ, προσκεκολλημένος εἰς τὸ φοβερώτατον εἴδωλον τῆς ὕδρας; καὶ ὁμοῦ μὲ αὐτὸ τὰ φονικὰ δόλια αἵματα τοῦ δασυτρίχου θερμανθέντα βλάπτουσιν αὐτόν.

[1]) Ἡ γενικὴ ἐξαρτᾶται ἐκ τοῦ ἄοκνος. Παραπλήσιον εἶναι τὸ ἐν στίχ. 23 «ἀταρβὴς τῆς θέας». Ἐν τοῖς χειρογράφοις ἀναγινώσκεται ἄοκνον, ὅπερ εἶχεν ὑπ' ὄψει καὶ ὁ Σχολιαστής· «Ὧν τῶν νεωστὶ δρωμένων συμβάντων κακῶν τὴν ἀμέλλητον βλάβην ὁρῶσα συμβᾶσαν τοῖς οἴκοις Δηιάνειρα, τὰ κακὰ μὲν ἐξ ἀρχῆς αὐτὴ οὐ συνεῖδεν, ἀπὸ γνώμης δὲ ἑτέρας τοῦ Νέσου γενόμενα ὡς δῆθεν ἐπὶ τὸ διαλλάττειν τὸν Ἡρακλέα. Ἄοκνον δέ, τὴν ὀξεῖαν καὶ ἀμέλλητον, ἢ πολύοκνον, ὅ ἐστι πολύφοβον· κατ' ἐπίτασιν δὲ τὸ α „. Ἀλλ' ὁ Musgrave ἔτρεψεν εἰς ὀνομαστικήν, ἣν ἐδέξαντο οἱ νεώτεροι ἐκδόται.

[2]) Τὰ χειρόγραφα ἔχουσι προσορῶσα, ὅπερ ὁ Blaydes ἔτρεψεν, ὡς ἔχομεν ἐν τῷ κειμένῳ.

[3]) Εὐφυῶς ὁ Nauck τὸ ἀΐσσόντων τῶν χειρογράφων ἔτρεψεν ἀΐσσουσαν· διότι ἡ βλάβη ἦλθεν ἐκ τῶν νέων γάμων.

[4]) Ὁ Σχολιαστὴς ἐξηγεῖ· «ἔγνω, οὐ συνῆκεν».

[5]) Κατὰ τὸν Nauck ἰσοδυνατῇ φράσει ἄλλου εἰπόντος· ποιητὴς θέλει νὰ εἴπῃ, ὅτι ἐγένοντο ἐξ ἀλλοτρίας γνώμης, δηλ. τοῦ Νέσου. Οὕτως ἐξηγεῖ καὶ ὁ Ellendt. Χάριν ἀντιθέσεως πρὸς ταύτην φράσιν ὁ μὲν Nauck εἴκασεν τοῦ οὔ τι αὐτή, ὁ δὲ Blaydes αὐτά.

[6]) Οὕτως ἔχουσι τὰ χειρόγραφα· οἱ δὲ κριτικοὶ ποιοῦσι ποικίλως· ὀρθώσεις καὶ ὁ μὲν Hermann φησι στυγναῖσι συναλλαγαῖς, ὁ δὲ H. Schütz μολόντ' ἀλγυναῖσι συναλλαγαῖς. Καθ' ἡμᾶς εἰπεῖν ἡ δευτέρα στροφὴ εἶναι διεφθαρμένη. Ἐννοεῖ τὴν ὀλεθρίαν συνέντευξιν μετὰ τοῦ Νέσσου, ἣν ἐγένετο κατὰ τὸν φόνον αὐτοῦ.

[7]) Ὁ Σχολιαστὴς ἐξηγεῖ «Ὀδὴ ἡ ἀθλία καταστάζει καὶ κλαίει βρέχει πολλῶν δακρύων ἀφορμῇ». Νομίζομεν ὅμως, ὅτι τὸ που δ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τέγγει δακρύων ἄχναν[1].
Ἁ δ' ἐρχομένα[2] *μοῖρα προφαίνει δολίαν* 850
καὶ μεγάλαν ἄταν.

Ἀντιστροφὴ β'.

Ἔρρωγεν[3] *παγὰ δακρύων*
κέχυται[4] *νόσος, ὦ πόποι, οἷον ἐξ*

νὰ ἐξηγήσωμεν εἴτε ὡς εἰκα-
, εἴτε ὡς τοπικόν, ὡς ἐν Φι-
τ. 1130 "ἦ που ἐλεινὸν ὁρᾷς"
ν Αἴαντ. 623 «ἦ που παλαιᾷ
ντροφος ἡμέρᾳ». Τὸ ὁλοὰ εἶναι
: οὐδετέρου ἀντὶ ὁλοοὺς στόνους·
Ἄχνη κυρίως εἶναι ἡ δροσιά.
ῦθα δὲ μεταχειρίζεται τὴν λέ-
πὶ τῆς πληθύος τῶν δακρύων,
αὶ ὁ Σχολιαστὴς παρετήρησεν·
φαντικὸν τὸ ἄχνα διὰ τὸ πλῆ-
.
Ἐπειδὴ οἱ Ἀττικοὶ ἀποφεύ-
τοὺς τύπους ἔρχωμαι ἐρχοί-
ἔρχου, ἔρχεσθαι, ἐρχόμενος,
μην, ὁ Nauck εἰκάζει ἀρχο-
ῆ. Παραπλησία ὅμως φράσις
αι ἐν Οἰδιποδ. ἐπὶ Κολων. 229
ενὶ μοιραδία τίσις ἔρχεται».
ρώτασις αὕτη ποιεῖ ἀντίθεσιν
τὴν προηγουμένην. Στενάζει
ἀλλὰ δὲν δύναται νὰ κωλύσῃ
ἐπερχομένην μοῖραν. Ὁ Σχολια-
ἐξηγεῖ· «Ἡ προσδοκωμένη κα-
ιρία τοῦ Ἡρακλέους ἐμφαίνει
λην ἑτέραν ἄτην· προσδοκῶσι
τι ἀπολλυμένου Ἡρακλέους, αὐ-
ῳ ἑαυτῆς γενήσεται». Παρέχει
ς δυσκολίαν τὸ ἐπίθετον δολία.
Σχολιαστὴς ἐξηγεῖ «Δόλῳ γὰρ
ν καὶ λάθρα ἀναιρήσει» Ἀλλ'
ἡ Δηϊάνειρα ἐφόνευσε μὲν ἑαυτὴν
λάθρᾳ οὐχὶ δὲ καὶ δολίως. Καθ'
ἡμᾶς τὴν ἄτην ὀνομάζει δολίαν, διότι
προῆλθεν ἐκ τοῦ δόλου. Ἐν γένει ἡ
β' στροφὴ περιέχει πολλὰς ἀπορίας.
Ἐξήγησις· Τὰ ὁποῖα αὕτη δὰ ἡ ταλαίπωρος μὴ φοβουμένη, μεγάλην
βλάβην εἰς τοὺς οἴκους προβλέπουσα,
προσερχομένην ἐκ τῶν νέων γάμων,
τὰ ὁποῖα δὲν ἐπενόησεν, ἀλλ' ἦλθον
ἀπὸ ξένην γνώμην κατὰ τὴν ὀλεθρίαν
συνέντευξιν, βεβαίως κάπου ὀλεθρίους στεναγμοὺς κάμνει, βεβαίως
κάπου καταβρέχει πυκνῶν δακρύων
θαλερὰν δρόσον. Ἀλλ' ἡ ἐπικειμένη
μοῖρα προδηλοῖ δολίαν καὶ μεγάλην
βλάβην.

3) *Οὐχὶ ἀκριβῶς ἐξηγεῖ ὁ Σχολιαστής· «πάρεστιν ἡμῖν δακρύειν,*
ὡς ἀπὸ πηγῆς κρουνηδόν». Διότι
σημαίνει· ἐξέσπασεν ἡ πηγὴ τῶν δακρύων. Παραπλήσιον εἶναι τὸ ἐν
Ἀλκήστ. 1068 «ἐκ δ' ὀμμάτων πηγαὶ κατερρώγασιν» καὶ Αἰσχύλ. ἐν
Πέρσ. 436 "κακῶν δὴ πέλαγος ἔρρωγεν".

4) *Διὰ τοῦ ῥήματος τούτου δηλοῖ,*
ὅτι ἡ νόσος διαχυθεῖσα προσέβαλεν
ὁλόκληρον τὸ σῶμα. Εἰς τὴν νόσον
κεῖται ὡς παράθεσις τὸ οἷον — πάθος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀναρσίων[1] οὔπω ποτ' ἄνδρ' ἀγακλειτὸν
ἔπεμολεν[2] πάθος οἰκτίσαι.
Ἰὼ κελαινὰ[3] λόγχα προμάχου δορός,
ἃ τότε[4] θοὰν νύμφαν
ἄγαγες ἀπ' αἰπεινᾶς
τάνδ' Οἰχαλίας αἰχμᾷ[5].
Ἃ δ' ἀμφίπολος[6] Κύπρις ἄναυδος φανερὰ
τῶνδ' ἔφάνη πράκτωρ[7].

[1]) *Τὸ ἐπίθετον εἶναι σύνθετον ἐκ τοῦ α τοῦ στερητικοῦ καὶ τοῦ ἄρω. Κατὰ τὴν σύνθεσιν δηλοῖ τὸν ἀνάρμοστον καὶ δὴ τὸν πολέμιον.*

[2]) *Ἐν τοῖς χειρογράφοις ἀναγινώσκεται· οἷον ἀναρσίων οὔπω ἀγακλειτὸν Ἡρακλέους ἀπέμολε πάθος οἰκτίσαι. Ἀλλὰ τὸ χωρίον διὰ μετρικοὺς καὶ ἄλλους λόγους μετεβλήθη, ὡς ἔχομεν ἐν τῷ κειμένῳ. Καὶ τὸ οἰκτίσαι φαίνεται ὕποπτον τοῖς κριτικοῖς, οἵτινες οἰκάζουσιν οἰκτρὸν ἢ οἴκτιστον. Ἡ διόρθωσις δὲν εἶναι κακή, ἀλλὰ δυνάμεθα νὰ συνάψωμεν διὰ τοῦ ὥστε.*

[3]) *Ὁ χορὸς δυσφορεῖ διὰ τὴν αἰχμαλωτίδα, ἥτις ἐγένετο αἰτία τῆς δυστυχίας τοῦ Ἡρακλέους. Ὁ Σχολιαστὴς ἐξηγεῖ· « Κελαινὴν εἶπε τὴν λόγχην διὰ τὸν ἐξ αὐτῆς ἀποτελούμενον θάνατον· μέλας γὰρ ὁ θάνατος ». Παραπλήσιον εἶναι τὸ ἐν Αἴαντ. 231 « συγκατακτὰς κελαινοῖς ξίφεσιν βοτὰ καὶ βοτῆρας ἱππονώμας »· ὅπου ἴδε τὴν σημείωσίν μου.*

[4]) *Δηλαδὴ ὅτε ἡ Ἰόλη ἐνεφανίσθη. Ἀλλ' ὁ F. W. Schmidt ἀμφιβάλλει, ἂν ὁ ποιητὴς ἠδύνατο νὰ μεταχειρισθῇ τὸ τότε διὰ τὴν πρὸ ὀλίγου ἐμφανισθεῖσαν Ἰόλην. Νομίζομεν, ὅτι τοῦτο δὲν κωλύει, διότι παραπλήσιον εἶναι τὸ ἐν Ἀντιγόν. 135 « ὃς τότε μαινομένᾳ ξὺν ὁρμᾷ βακχεύων ἐπέπνει ». Τὸ ἑπόμενον ἐπίθετον κεῖται ἀντὶ ἐπιρρήματος, ὡς ἐν Ὀδυσσ. β, 257 « λῦσεν δ' ἀγορὴν αἰψηρήν » καὶ ἐν Αἴαντ. 1266 " ὡς ταχεῖά τις βροτοῖς χάρις διαρρεῖ ". Κατὰ τὸν Σχολιαστὴν ἄλλοι ἐξήγουν· « τὴν ταχέως νυμφευθεῖσαν », ὅπερ ἀπίθανον. Οἱ κριτικοὶ ὅμως καταφεύγουσιν εἰς διορθώσεις καὶ ὁ μὲν* Blaydes *εἰκάζει ἃ τότ' ὄλοάν, ὁ δὲ* F. W. Schmidt *ἃ τ' ὄλεθρίαν.*

[5]) *Ὁ Σχολιαστὴς ἐξηγεῖ· « Νόμῳ πολέμου », ἀλλ' ὁ* F. W. Schmidt *προσκρούσας ἔγραψεν εἰς γῆν, ὅπερ λίαν τολμηρόν.*

[6]) *Τὴν Κύπριν λέγει ἀμφίπολον ὡς ὑπηρετησαμένην τῷ Ἡρακλεῖ πρὸς τὸν ἔρωτα. Ἡ Ἀφροδίτη δὲν εἶπέ τι, ἀλλ' αὐτὴ φανερὰ ἐξετέλεσεν.*

[7]) *Ὅρα, ὅτι μετεχειρίσθη τὸ πράκτωρ ἐπὶ θηλυκοῦ γένους, ὡς τὸ σωτὴρ ἐν Φιλοκτήτ. 1470 "Νύμφαις ἁλίαισιν ἐπευξάμενοι νόστον*

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΕΠΕΙΣΟΔΙΟΝ Ε΄.

ΗΜΙΧΟΡΙΟΝ Α΄.

Πότερον ἐγὼ μάταιος[1] *ἢ κλύω τινὸς*
οἴκτου δι' οἴκων ἀρτίως ὁρμωμένου;
τί φημί[2]*;*

ΗΜΙΧΟΡΙΟΝ Β΄.

Ἦχεῖ τις οὐκ ἄσημον[3]*, ἀλλὰ δυστυχῆ*
κωκυτὸν εἴσω· καί τι καινίζει στέγη[4]*.*

ΗΜΙΧΟΡΙΟΝ Α΄.

Ξύνες[5] *δὲ*

σωτῆρας ἱκέσθαι». Ἐξήγησις· Ἔ σπασεν ἡ πηγὴ τῶν δακρύων, διεσπάρη ἡ νόσος εἰς τὸ σῶμα, ὦ θεοί, ὁποῖον πένθος ἐκ τῶν πολεμίων ἀκόμη οὐδέποτε εἰς τὸν ἐνδοξότατον ἄνδρα ἐπῆλθεν ὥστε νὰ τὸν εὐσπλαγχνισθῇ τις. Ἰὼ θανατηφόρος λόγχη τοῦ προβεβλημένου δόρατος, ἡ ὁποία τότε ταχέως ταύτην δὰ τὴν νύμφην ἀπό τῆς ὑψηλῆς Οἰχαλίας ἤγαγες νόμῳ τοῦ πολέμου· ἡ δὲ ὑπηρέτις Ἀφροδίτη σιωπῶσα φανερὰ ἀπεδείχθη τούτων ἐκτελεστής.

[1]) Μετὰ τὸ τέλος τοῦ χορικοῦ ἄσματος ἠκούσθη θρηνητικὴ φωνὴ τῆς τροφοῦ, ὡς ἴῶ μοι ἢ παραπλήσιόν τι. Ὁ Ο. Hense εἰκάζει· Τίς ἡ χή; Κατὰ τὸν Σχολιαστήν· "Ὁ χορὸς τῆς τροφοῦ ἀκούων θρηνούσης ἐπὶ τῇ ἀναιρέσει τῆς Δηϊανείρας, φησὶ τοῦτο „Τὸ ἓν ἡμιχόριον ἐρωτᾷ τὸ ἕτερον, ἂν ἀπατᾶται, ἢ ὄντως ἀκούει φωνῆς διεγειρούσης οἶκτον. Παραπλήσιον εἶναι τὸ ἐν Ἀντιγόν. 1218 "τὸν Αἵμονος φθόγγον συνίημ'", ἢ θεοῖσι κλέπτομαι „.

[2]) Οὕτως ἔχουσι τὰ χειρόγραφα, ἀλλ' οἱ κριτικοὶ θεωροῦσιν ὕποπτον τὸ χωρίον καὶ ὁ μὲν Nauck εἰκάζει τί φῶμεν, ὁ δὲ Schenkl τί φῄς σύ καὶ ὁ Ο. Hense τίθησι τὸ εὐφήμει ἐν τῷ στόματι τοῦ β΄ ἡμιχορίου.

[3]) Κατὰ τὸν Σχολιαστήν· "Οὐ μικρόν, ἀλλὰ μέγα καὶ ἐξάκουστον „. Ἡ ἐξήγησις δὲν εἶναι ἀκριβής· διότι νομίζομεν, ὅτι τὸ ἄσημον δηλοῖ ἦχον σκοτεινόν, ἐξ οὗ δὲν δύναταί τις νὰ διακρίνῃ τι, ὡς ἐν Ἀντιγόν. 1209 τῷ δ' ἀθλίας ἄσημα περιβαίνει βοῆς ἔρποντι μᾶλλον ἆσσον». Ἔχομεν δὲ τὴν γνώμην, ὅτι ἐνταῦθα δὲν ἐξυπακούεται τὸ κωκυτόν, ἀλλ' ἦχον. Δὲν εἶναι σκοτεινὸς ἦχος, ἀλλὰ θρῆνος δυστυχοῦς. Τὸ δυστυχῆ κεῖται ἀντὶ δυστυχοῦς, δὲν εἶναι δ' ἀνάγκη νὰ τρέψωμεν εἰς δύσθροον, ὡς ἐποίησεν ὁ Herwerden.

[4]) Ὁ Σχολιαστὴς ἐξηγεῖ· «Ἔοικέ τι νεώτερον ἔχειν ὁ οἶκος „.

[5]) Τοῦτο λέγει πρὸς τὸ ἕτερον ἡμιχόριον. Κατὰ τὸν Σχολιαστήν·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τήνδ'[1] ὡς κατηφὴς καὶ συνωφρυωμένη
χωρεῖ πρὸς ἡμᾶς γραῖα σημανοῦσά τι.

ΤΡΟΦΟΣ.

Ὦ παῖδες, ὡς ἄρ' ἡμὶν οὐ σμικρῶν κακῶν
ἦρξεν τὸ δῶρον Ἡρακλεῖ τὸ πόμπιμον[2].

ΧΟΡΟΣ.

Τί δ', ὦ γεραιά, καινοποιηθὲν[3] λέγεις;

ΤΡΟΦΟΣ.

Βέβηκε Δηϊάνειρα τὴν πανυστάτην
ὁδῶν ἁπασῶν ἐξ ἀκινήτου ποδός[4].

ΧΟΡΟΣ.

Οὐ δὴ ποθ' ὡς θανοῦσα[5];

ΤΡΟΦΟΣ.

πάντ' ἀκήκοας[6].

" Ἀλλήλαις παρακελεύονται αἱ ἀπὸ τοῦ χοροῦ „.

